www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΙΛΟΥΑΝΟΥ ΤΟΥ ΑΘΩΝΙΤΟΥ

«Δὸς Κύριε, ἵνα πάντες οἱ ἄνθρωποι, οἵτινες προσεύχονται εἰς Σέ, γνωρίσουν τὸ Πνεῦμα τὸ Ἅγιον».

www.tezaurliturgic.ro

'Απολυτίκιον.

Ἦχος γ'. Θείας πίστεως.

Ποίημα Παύλου Ἱερομονάχου.

Κήρυξ δέδοσαι, τῇ οἰκουμένῃ, σὺ γλυκύτατος, ἐν θεολόγοις, τῆς τοῦ Χριστοῦ ἀγάπης τρισόλβιε· τὸν Ταπεινὸν γὰρ καὶ Πρᾷον ἑώρακας, καὶ τὴν Ἐκείνου καρδίαν κατέμαθες. Ὅθεν ἅπαντες, Σιλουανὲ ἐλλαμπόμενοι, τοῖς σοῖς θεογλώσσοις ῥήμασι, δοξάζομεν τὸ Πνεῦμα τὸ δοξάσαν σε.

Ἕτερον.

Ἦχος γ'. Θείας πίστεως.

Ποίημα Ζαχαρίου Ἱερομονάχου.

Πνεῦμα Ἅγιον λαβὼν ἐν γνώσει, καὶ κτησάμενος Ἀδὰμ τὸ πένθος, ἀκορέστως Χριστὸν ἐπεπόθησας· στερρῶς τὸν νοῦν εἰς τὸν Ἅδην ἐκράτησας καὶ τοὺς βροτοὺς ὑπὲρ φύσιν ἠγάπησας. Πάτερ, πρέσβευε ἀεὶ τῷ Θεῷ δωρήσασθαι ἡμῖν, Σιλουανέ, τὸ μέγα ἔλεος.

Κοντάκιον.

Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὡς πολὺ ἠγάπησας<br>
καὶ πολλὴν εὗρες,<br>
Χάριν θείου Πνεύματος,<br>
Σιλουανὲ παρὰ Χριστοῦ,<br>
ὅθεν τὰ ἔθνη βοῶσί σοι·<br>
Χαίροις ὦ Πάτερ,<br>
Πατέρων παγκόσμιε.

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΙΛΟΥΑΝΟΥ ΤΟΥ ΑΘΩΝΙΤΟΥ




Β΄ ἔκδοσις βελτιωμένη

ΕΚΔΟΣΙΣ
ΙΕΡΑΣ ΜΟΝΗΣ ΣΙΜΩΝΟΣ ΠΕΤΡΑΣ
ΑΓΙΟΝ ΟΡΟΣ 1995

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# Πρόλογος

*Τὸ τεῦχος αὐτὸ εἶναι ἡ πρώτη τύποις ἔκδοσις τῆς ἀκολουθίας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς Σιλουανοῦ τοῦ Ἀθωνίτου. Οὗτος εἶναι ἐκ τῶν νεωτάτων ἁγίων τῆς Ἐκκλησίας μας, σημερινὸς ἅγιος, βλαστὸς τῆς Ἱ. Μονῆς Παντελεήμονος Ἁγίου Ὄρους.*

*Ἐγένετο γνωστὸς καὶ δεκτὸς ὄχι μόνον εἰς τὸν χῶρον τῆς πατρίδος μας καὶ τῆς Εὐρώπης, ἀλλὰ καὶ «ἕως τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν», ἀναγινωσκόμενος εἰς τὰς διαφόρους γλώσσας καὶ ἀπολαυόμενος ἐν ταῖς καρδίαις αὐτῶν ποὺ κατανοοῦν τὸ μήνυμα τοῦ Ἁγίου μας. Εἶναι, πράγματι, ἕνας ὁδηγὸς ἀπὸ ἐκείνους ποὺ «ὁμοίως φωτὶ λάμπουσι, προπορεύονται καὶ φωτίζουσι»[1]. Ἔζησε δι' ὅλου του τοῦ εἶναι μὲ ἄσβεστον πνευματικὴν δίψαν, ἡσυχίαν, βαθεῖαν προσευχὴν καὶ σκληρὰν ἄσκησιν ἕως τέλους, ἀκόμη καὶ ὅταν ἦτο ἐπιφορτισμένος διὰ χρόνια νὰ παρακολουθῇ καὶ νὰ κατευθύνῃ ὡς οἰκονόμος μεγάλων οἰκοδομικῶν ἔργων ἐργάτας!*

*Φῶς καὶ φωτιὰ ἐπλήρωσε τὴν καρδίαν καὶ ὅλον τὸ σῶμά του, ὅταν κατηξιώθη νὰ ἴδῃ τὸν ζῶντα καὶ ἀληθινὸν Χριστόν. Ἔζησε ταπεινὸς ὡς Θεοῦ οἰκονόμος, φιλόξενος, φιλάγαθος, σώφρων, δίκαιος, ὅσιος[2], ἔγινε πιστὸς μάρτυς τῶν θεοφανειῶν του καί, τώρα πλέον, συμμετέχει τῆς οὐρανίου καθημερινῆς πανδαισίας. Ἐκεῖ περιχωρεῖ, ἀσφαλῶς ὄχι μόνος, ἀλλὰ καὶ μὲ τὰ ἔγγονά του, ὅλους δηλαδὴ ἐκείνους ποὺ ἡ ζωή του καὶ ἡ μαρτυρία του τοὺς συνεκλόνισε, τοὺς προητοίμασεν καὶ αὐτοὺς ὡς μάρτυρας καὶ τοὺς κατίθυνε πρὸς τὴν Βασιλείαν τοῦ Θεοῦ, καθὼς λέγει ὁ προφήτης Ἠσαΐας: «Οἱ ἐκλεκτοί μου οὐ κοπιάσουσιν εἰς κενόν... καὶ τὰ ἔγγονα αὐτῶν μετ' αὐτῶν ἔσονται»[3].*

*Ὁ Ἅγιος ἔζησεν ὁσιακῶς 46 χρόνια εἰς τὸ Μοναστήρι του, ἕως ὅτου ἐκοιμήθη τῷ 1938 καὶ ἐκληρονόμησε τὴν ἄπαυστον δόξαν. Ἕως τώρα ὑπάρχουν ἄνθρωποι ποὺ τὸν ἐνθυμοῦνται, ἰδιαίτατα δὲ ὁ πολιὸς Γέρων Ἀρχιμανδρίτης Σωφρόνιος, ἐπιστήθιος καὶ πιστὸς μαθητής του, ζήσας ἐν-*

1. Παροιμ. 4, 18 2. Τίτ. 1, 7-8 3. Ἠσ. 65, 23.

www.tezaurliturgic.ro

νέα ἔτη μὲ τὸν Ἅγιον ὁμόδρομος, ὁμόζυγος καὶ ὁμοήθης, μιμητὴς τῆς ἐκείνου ὁσιακῆς βιοτῆς, τώρα δὲ εὐγενὴς καὶ γεράσμιος κτίτωρ τῆς Ἱ. Πατριαρχικῆς καὶ Σταυροπηγιακῆς Μονῆς Τιμίου Προδρόμου ἐν ESSEX εἰς τὴν Ἀγγλίαν.

Ὁ σεπτὸς οὗτος ἁγιορείτης καὶ διακριτικὸς Γέρων, ὁσάκις χρειασθῇ νὰ ἀποφασίσῃ περί τινος προβλήματος, εὐθὺς διερωτᾶται: «Τί θὰ μοῦ ἔλεγεν ἡ Μετάνοιά μου καὶ οἱ πατέρες τοῦ Ἁγίου Ὄρους;» Αὐτὸς ἔγινεν ἀκριβὴς ἑρμηνευτὴς καὶ ἄριστος βιογράφος τοῦ Ἁγίου Σιλουανοῦ, ὅστις ἐπαρουσίασεν εἰς τὸν σύγχρονον κόσμον τοὺς σκληροὺς καμάτους καὶ τὰς πνευματοβρύτους γραφάς του, ὡς εὐεργεσίαν καὶ παράκλησιν ἀναριθμήτων θεοδιψάστων ψυχῶν.

Ἐλέχθη, ὅτι «τὸν ἅγιον ἕνας ἄλλος ἅγιος ἠμπορεῖ νὰ τὸν κατανοήσῃ καὶ νὰ τὸν παρουσιάσῃ εἰς τὴν Ἐκκλησίαν». Εὐτυχῶς ποὺ ὁ Θεὸς ὡς θεῖον δῶρον κατηξίωσε τὸν π. Σωφρόνιον νὰ ἀποκαλύψῃ τὸν Ἅγιον καὶ νὰ φανερώσῃ τὸν πλοῦτον τῆς ὀρθοδόξου παραδόσεως εἰς τὴν Δύσιν, στρεφομένην μετὰ πολλῆς νοσταλγίας πρὸς τὰς ἀρχεγόνους πηγὰς τῆς κατ' Ἀνατολὰς Ἐκκλησίας. Ηὐτύχησε δὲ καὶ νὰ ἴδῃ ὁ υἱὸς τὴν ὑπὸ τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας ἐπίσημον ἀναγνώρισιν τῆς ἁγιότητος τοῦ κατὰ πνεῦμα πατρὸς καὶ καθηγητοῦ αὐτοῦ, ὡς καὶ τὸν ἐγκαινιασμὸν τοῦ πρώτου ἱεροῦ Ναοῦ πρὸς τιμὴν τοῦ ὁσίου Σιλουανοῦ καὶ τοῦ δευτέρου, ἤδη δὲ καὶ τρίτου καὶ τετάρτου, ὡς καὶ τὴν σωρείαν τῶν πολυγλώσσων ἐπανεκδόσεων τοῦ ἔργου τοῦ νέου ἁγίου.

Ἡ συνταχθεῖσα αὕτη ἀκολουθία νῦν ἐκδίδεται τύποις, ἐγκριθεῖσα ὑπὸ τῆς Ἱ. Κοινότητος τοῦ Ἁγίου Ὄρους. Αἱ εὐχαὶ τοῦ Ἁγίου Σιλουανοῦ ἄς συνοδεύουν πάντας τοὺς ἐντρυφῶντας εἰς τὴν μελίρρυτον διδασκαλίαν Του, ὅστις ὁλόκληρος εἶναι θησαυρὸς σωτηρίας, σοφίας, ἐπιστήμης, εὐσεβείας καὶ δικαιοσύνης[4].

Ὁ Καθηγούμενος τῆς Ἱερᾶς Μονῆς Σίμωνος Πέτρας

Ἀρχιμανδρίτης Αἰμιλιανὸς

Κυριακῇ τοῦ Θωμᾶ 1991

---

4. Ἠσ. 33, 6.

www.tezaurliturgic.ro



'Αριθμ.Πρωτ. 823.

Τούς ἐν τῷ μετά σώματος βίῳ κατορθώμασιν ἀρετῆς διαπρέψαντας, καί μετά τήν ἀποβίωσιν εὐλαβεῖσθαι καί τιμᾶν, ἐτησίοις τε τελεταῖς καί ἐγκωμίων ὕμνοις γεραίρειν, ὅσιον καί τῷ τῆς 'Εκκλησίας πληρώματι λυσιτελέστατον πέφυκεν· ἐκεῖνο μέν, ὅτι ὁ τοῖς κατ'ἀρετήν βεβιωκόσιν ἀπονεμόμενος ἔπαινος εἰς αὐτόν τόν Θεόν ἀναφέρεται, παρ'Οὗ πᾶσα ἀρετή εἰς ἀνθρώπους, ὥς που θεολογῶν ὁ τῆς θεολογίας ἐπώνυμος ἀποφαίνεται Γρηγόριος, τοῦτο δ'ἐπειδή ὁ περί τά καλά ἔπαινος τούς μέν ῥαθύμους καί ὀκνηρούς πρός τήν τῆς ἀρετῆς κατόρθωσιν παραζηλοῖ καί προτρέπεται, τούς δέ φιλοπόνως πρός αὐτήν φερομένους ἀκμαιοτέρους ἐργάζεται.

'Επειδή τοίνυν τοιούτοις ἐξόχοις ἀρετῆς κατορθώμασι διακέκριται καί ὁ ἐκ Ρωσσίας καταγόμενος καί ἐν 'Αγίῳ "Ορει, ἐν τῇ 'Ιερᾷ Πατριαρχικῇ καί Σταυροπηγιακῇ Μονῇ τοῦ 'Αγίου 'Ενδόξου Μεγαλομάρτυρος καί 'Ιαματικοῦ Παντελεήμονος, ἐπί ἥμισύν που αἰῶνα βιώσας μοναχός Σιλουανός, ὁσιότητι μέν καί ἁγιότητι βίου τύπον τοῦ κατά Χριστόν πολιτεύματος καί ζῶσαν ἀρετῆς εἰκόνα, ποικίλοις δ''Ορθοδόξοις καί ψυχωφελέσι συγγράμμασι ἀποστολικόν καί προφητικόν διδάσκαλον τῆς 'Εκκλησίας καί τοῦ χριστωνύμου πληρώματος ἑαυτόν παραστήσας καί ἀναδείξας, φθάσας εἰς ὑψηλά πνευματικά μέτρα καί γενόμενος σκεῦος τοῦ 'Αγίου Πνεύματος,ἀσκήσας ὅσον ὀλίγοι τήν ἀγάπην, καί διά πάντα ταῦτα τιμηθείς ὑπό τοῦ Θεοῦ διά τῶν χαρισμάτων ἰάσεώς τε ἀσθενῶν καί πασχόντων καί ἐκπληκτικῆς διορατικότητος, ἡ Μετριότης ἡμῶν μετά τῶν περί ἡμᾶς 'Ιερωτάτων Μητροπολιτῶν καί ὑπερτίμων, τῶν ἐν 'Αγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καί συλλειτουργῶν, πρός τήν θεάρεστον πολιτείαν καί τάς πράξεις καί τά κατορθώματα αὐτοῦ ἀπιδόντες, καί τῆς κοινῆς τῶν πιστῶν ὠφελείας προνοούμενοι, ἔγνωμεν, συνῳδά τοῖς πρό ἡμῶν θείοις πατράσι τῷ κοινῷ τῆς 'Εκκλησίας ἔθει κατακολουθοῦντες, τήν προσήκουσαν τοῖς θείοις ἀνδράσιν ἀπονεῖμαι αὐτῷ τιμήν.

Διό καί θεσπίζομεν συνοδικῶς καί διοριζόμεθα καί ἐν 'Αγίῳ διακελευόμεθα Πνεύματι, ὅπως ἀπό τοῦ νῦν καί εἰς τό ἑξῆς εἰς αἰῶνα τόν ἅπαντα ὁ Γέρων Σιλουανός ὁ 'Αγιορείτης συναριθμῆται τοῖς ὁσίοις καί ἁγίοις τῆς 'Εκκλησίας ἀνδράσιν, ἐτησίοις ἱεροτελεστίαις καί ἁγιστείαις τιμώμενος καί ὕμνοις ἐγκωμίων γεραιρόμενος τῇ κδ' Σεπτεμβρίου, ἐν ᾗ μακαρίως πρός τόν Κύριον ἐξεδήμησεν.

www.tezaurliturgic.ro

Εἰς ἔνδειξιν δέ τούτου καί βεβαίωσιν ἐγένετο καί ἡ παροῦσα Πατριαρχική ἡμῶν καί Συνοδική Πρᾶξις, καταστρωθεῖσα μέν καί ὑπογραφεῖσα ἐν τῷδε τῷ ἱερῷ Κώδικι τῆς καθ'ἡμᾶς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐν ἴσῳ δέ καί ἀπαραλλάκτῳ ἀποσταλεῖσα τῇ Ἱερᾷ τοῦ Ἁγίου Ὄρους Κοινότητι, πρός κατάθεσιν ἐν τοῖς οἰκείοις Ἀρχείοις.

Ἐν ἔτει σωτηρίῳ ἀϡπζ΄, κατά μῆνα Νοέμβριον (κς΄),
Ἐπινεμήσεως ΙΑ΄.

† ὁ Κωνσταντινουπόλεως Δημήτριος ἀποφαίνεται

† ὁ Ροδοπόλεως Ἱερώνυμος † ὁ Ἴμβρου καί Τενέδου Φώτιος

† ὁ Σταυρουπόλεως Μάξιμος † ὁ Μύρων Χρυσόστομος

† ὁ Πριγκηποννήσων [illegible] † ὁ Κολωνείας Γαβριήλ

† ὁ Πέργης Εὐάγγελος † ὁ [illegible] Μάξιμος

† ὁ Δέρκων Κωνσταντῖνος † ὁ Ἑλενουπόλεως Ἀθανάσιος

† ὁ [illegible] Ἰωακείμ † ὁ Φιλαδελφείας Βαρθολομαῖος.

www.tezaurliturgic.ro

ΙΕΡΑ ΚΟΙΝΟΤΗΣ
ΑΓΙΟΥ ΟΡΟΥΣ
ΑΘΩ

ΑΡΙΘ. ΠΡΩΤ. Φ 2/33/602

ΚΑΡΥΑΙ, ΤΗ 17 Αὐγούστου 1988

Τῷ Ἁγίῳ Καθηγουμένῳ
τῆς Ἱ.Μ.Σίμ.Πέτρας
Ἀρχιμ.κ.Αἰμιλιανῷ
Εἰς τὴν Αὐτὴν

Τὴν Ὑμετέραν Πανοσιολογιότητα
ἀδελφικῶς ἐν Κυρίῳ κατασπαζόμεθα,

Φιλαδέλφως εἰς ἀπάντησιν τοῦ ὑπ'ἀρ.πρωτ. 183/23-7-88 Ὑμετέρου ἐγγράφου,δι'οὗ ἡ Ὑμετέρα Πανοσιολογιότης ἠτήσατο παρὰ τῆς Ἱ.Κοινότητος,ἵνα μελετήσῃ συνταχθεῖσαν ἀκολουθίαν πρὸς τιμὴν τοῦ ὁσίου Σιλουανοῦ τοῦ Ἁγιορείτου,ὑπὸ τοῦ Ὑμετέρου ἀδελφοῦ Ἱερομονάχου Ἀθανασίου,προκειμένου νὰ ἐκδοθῇ ἐν συνεχείᾳ,γνωρίζομεν Ὑμῖν ὅτι ἡ καθ'ἡμᾶς Ἱ.Κοινότης ἀνέθεσεν εἰς ἐπιτροπὴν ἀποτελεσθεῖσαν ἐκ τῶν ἁγίων Ἀντιπροσώπων τῶν Ἱ.Μονῶν Σταυρονικήτα καὶ Γρηγορίου τὴν μελέτην αὐτῆς καὶ ἀνεῦρεν οὐδὲν ἀπᾷδον εἰς τὰ δόγματα καὶ παραδόσεις τῆς ὀρθοδόξου ἐκκλησίας.Κατόπιν τούτων ἐγκρίνει τὴν ἔκδοσιν Αὐτῆς,συγχαίρει τὸν πονήσαντα ἀδελφὸν καὶ εὔχεται αὐτῷ τε καὶ Ὑμῖν,πλουσίαν τὴν εὐλογίαν τοῦ ἁγίου εἰς τὸν μοναχικὸν ἀγῶνα τῆς ἐν Χριστῷ τελειώσεως.

Ἐπὶ δὲ τούτοις διατελοῦμεν μετὰ τῆς ἐν Χριστῷ φιλαδελφίας καὶ ἀγάπης.

Ἅπαντες οἱ ἐν τῇ κοινῇ Συνάξει Ἀντιπρόσωποι καὶ Προϊστάμενοι τῶν εἴκοσιν Ἱερῶν Μονῶν τοῦ Ἁγίου Ὄρους Ἄθω.



Ἡ παρὰ τῇ Ἱερᾷ Κοινότητι τοῦ Ἁγίου Ὄρους εὑρισκομένη περγαμηνή, περιέχουσα τὴν Πατριαρχικὴν καὶ Συνοδικὴν Πρᾶξιν.

www.tezaurliturgic.ro

# ΕΣΠΕΡΙΝΟΣ

# ΟΡΘΡΟΣ

# Θ. ΛΕΙΤΟΥΡΓΙΑ

«Τὸ Ἅγιον Πνεῦμα πάντας ἑνοῖ, καὶ διὰ τοῦτο οἱ Ἅγιοι εἶναι πλησίον ἡμῶν. Καὶ ὅταν προσευχώμεθα εἰς αὐτούς, τότε ἐν Πνεύματι Ἁγίῳ αὐτοὶ ἀκούουν τὰς προσευχάς, καὶ αἱ ψυχαὶ ἡμῶν αἰσθάνονται τὴν ὑπὲρ ἡμῶν πρεσβείαν των».

www.tezeuliturgice.ro

www.tezaurliturgic.ro

ΜΗΝΙ ΣΕΠΤΕΜΒΡΙῼ ΚΔ′ (Π.ΗΜ.ΙΑ′)
ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ
ΠΑΤΡΟΣ ΗΜΩΝ
ΣΙΛΟΥΑΝΟΥ ΤΟΥ ΑΘΩΝΙΤΟΥ

# ΕΝ Τῼ ΜΙΚΡῼ ΕΣΠΕΡΙΝῼ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν στιχ. προσόμοια.

Ἦχος δ′. Ὡς γενναῖον ἐν μάρτυσι.

Νέον ἄνθος ἐξήνθησε, Θεοτόκε τοῦ Κλήρου σου, πνέον τὴν τοῦ Πνεύματος θείαν ὄσφρησιν, Σιλουανὸς ὁ θαυμάσιος, ἀρχαίων ὁμότροπος, ἀσκητῶν καὶ ἐραστής, σοῦ Υἱοῦ μανικώτατος, Ὃν τρανώτερον, ἱκετεύει δοθῆναι τοῖς τιμῶσι, τὴν ὁσίαν αὐτοῦ μνήμην, τὰς δωρεὰς τὰς τῆς Χάριτος.

Ἐκ Ρωσσίας μὲν πέφυκας, ὡς βλαστός τις θεόσπαρτος, Ἄθω δὲ κατέλαβες τὸν ἐξάκουστον, ἔνθα ὡς κλῆμα καλλίκαρπον, τοῦ Σχήματος ἤνεγκας, οἶνον τὸν μεθυστικόν, ὃν παρέχεις ἀκένωτον, τοῖς διψῶσι σου, τὰ θεόπνευστα λόγια τρισμάκαρ, γραμματεῦ τῆς Βασιλείας, Σιλουανὲ ἀπλανέστατε.

www.tezaurliturgic.ro

Οὐδαμῶς ἐκολάκευσας, τὸ σὸν σκεῦος τὸ πήλινον, πόθον ἔχων Ὅσιε ἀποδύσασθαι, τοῦ πεπτωκότος τὸ ἔνδυμα, φορέσαι δὲ ἔκλαμπρον τοῦ καινοῦ Ἀδὰμ στολήν, συνεργὸν προσλαβόμενος καὶ συλλήπτορα, Μετανοίας σου θεῖον κηδεμόνα, ἀθλοφόρων πρωτοστάτην, Παντελεήμονα μέγιστον.

Ὡς θυσίαν αἰνέσεως, τῷ Κυρίῳ προσῆξε σε, ἡ Πατρίς σου Ὅσιε ἑορτάζουσα, τοῦ φωτισμοῦ τὰ μνημόσυνα, καὶ λέγει προσδέχου μου, ὦ Νυμφίε Ἰησοῦ, τὸν καρπὸν τῆς κοιλίας μου, ὃν τὸ Πνεῦμά Σου, ἀπεκύησε δῶρον εὐφροσύνης, Ἐκκλησίᾳ τῇ ἁγίᾳ, Σιλουανὸν τὸν μακάριον.

Δόξα. Ἦχος β'.

Ἐθαυμάστωσας τὸν Κύριον Ὅσιε, ἐν τῷ βίῳ σου τῷ θεσπεσίῳ. Αὐτὸν γὰρ ἐκζητῶν ἀπὸ παιδὸς διψητικῶς, διὰ τῆς πείρας τοῦ Ἁγίου Πνεύματος εὗρες ἐν τέλει, καὶ τοῦ γλυκασμοῦ ἐμφορηθεὶς τῶν ἀκτίστων δωρεῶν, πᾶσι παρέχεις διὰ τῶν θεογράφων σου λόγων, τὸ πλήρωμα τῆς ζωῆς τοῦ Εὐαγγελίου, ὅπερ ταπεινώσει διηνεκεῖ κεχρατηκώς, δώρησαι ἡμῖν Σιλουανὲ τοῖς τιμῶσι σε.

Καὶ νῦν. Τὴν πᾶσαν ἐλπίδα μου.

Φῶς ἱλαρόν. Προκείμενον. Καταξίωσον.

## Εἰς τὸν Στίχον.

Στιχηρὰ προσόμοια.

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Χάριν Σιλουανέ, τοῦ Πνεύματος παράσχου, πᾶσι τοῖς μετὰ πόθου, τὴν μνήμην σου τελοῦσι, καὶ ὕμνοις σε γεραίρουσιν.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Δίψαν τὴν τοῦ Θεοῦ, κατάσβεσον γραφαῖς σου, καὶ δρόσισον καρδίας, Σιλουανὲ ὡς οἶσθα, τῇ δρόσῳ τῇ τοῦ Πνεύματος.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Θρήνησον ἐπ' ἐμοί, Προπάτορος τῷ θρήνῳ, Σιλουανὲ τρισμάκαρ, καὶ γὰρ αἱ ἀνομίαι, ζωήν μου κατεκάλυψαν.

Δόξα. Τριαδικόν.

Δόξα σοι ὁ Θεός, Τριὰς ἡ Παναγία, ἡ νῦν χαρισαμένη, παράκλησιν τῷ κόσμῳ, Σιλουανὸν τὸν δοῦλον σου.

www.tezaurulortodox.ro

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Δέσποινα νῦν ἰδού, εὐῶδες ἄνθος ἦλθεν, ἐκ τοῦ σοῦ Κλήρου νέον, πιστοὺς καταμυρίζον, ὀσμαῖς τοῦ θείου Πνεύματος.

Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστιν.

'Απολυτίκιον.

Ἦχος γ'. Θείας πίστεως.

Ποίημα Παύλου Ἱερομονάχου.

Κήρυξ δέδοσαι, τῇ οἰκουμένῃ, σὺ γλυκύτατος, ἐν θεολόγοις, τῆς τοῦ Χριστοῦ ἀγάπης τρισόλβιε· τὸν Ταπεινὸν γὰρ καὶ Πρᾷον ἑώρακας, καὶ τὴν 'Εκείνου καρδίαν κατέμαθες. Ὅθεν ἅπαντες, Σιλουανὲ ἐλλαμπόμενοι, τοῖς σοῖς θεογλώσσοις ῥήμασι, δοξάζομεν τὸ Πνεῦμα τὸ δοξάσαν σε.

Ἕτερον.

Ἦχος πλ. α'. Τὸν Συνάναρχον Λόγον.

Κατηγλάϊσας Πάτερ Ὄρος τοῦ Ἄθωνος, ὑπὲρ φύσιν βιώσας καὶ τὴν τοῦ Πνεύματος, ἐπιδειξάμενος ἡμῖν θείαν ἐνέργειαν, ὅθεν τιμῶντες σου σεπτῶς, τὴν μνήμην ὦ Σιλουανέ, δοξάζομεν ἐκ καρδίας, τὸν παρασχόντα σε μέγαν, τῇ 'Εκκλησίᾳ χριστοκήρυκα.

www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχ. ϛ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Εὐφραντικῶς νῦν ἐν ὕμνοις, ἀνευφημήσωμεν, νέον βλαστὸν τοῦ Ἄθω, προστεθέντα ἀξίως, τῷ δήμῳ τῶν Ὁσίων, ὧν ἀκριβῶς, ἀρετὰς ἐμιμήσατο Σιλουανὸν τὸν θεόπτην, ἐκζητητὴν καὶ μηνύτορα τῆς Χάριτος.

Ἀπὸ παιδὸς Ὃν ἐζήτεις, Θεὸν κατέχεις ἰδού, οὐχὶ ψιλῇ τῇ γνώσει, ἀλλὰ Πνεύματος Πάτερ, δυνάμει ἀπορρήτῳ καὶ ἐκτενῶς, τὰς δεήσεις προσάγεις σου, ὅπως τὰ ἔθνη πλησθῶσι Σιλουανέ, δωρεᾶς τῆς θείας Χάριτος.

Ἡ τοῦ Θεοῦ Βασιλεία, ἐντὸς ἀνθρώπου ἐστί, καθὼς φησὶν ἀψεύστως, ὁ ἡμῶν Νομοθέτης, διὸ σφοδρῶς ἐγκύψας, Σιλουανέ, εὗρες ταύτης τὰ ρεύματα, καταδροσίζοντα γῆν σου τὴν νοητήν, καὶ τὰ σπέρματα αὐξάνοντα.

www.teologie.net / www.Zeal liturgie.ro

### Ἕτερα. Ἦχος β'. Ποίοις εὐφημιῶν.

Ποίοις εὐγνωμοσύνης ᾄσμασιν, ἀποδώσομεν τὴν ὀφειλήν σοι, Πάτερ θεοδόξαστε ὅσοι σου, δίψῃ ταῖς γραφαῖς ἐτρυφήσαμεν, καὶ ἐστοιχειώθημεν παμπλουσίως, εἰς ᾅδου, κρατεῖν τὸν νοῦν τὸν ἀκράτητον, καὶ ἔχειν, τῆς σωτηρίας τὴν ἐπίτευξιν, ἐν ἀγαθαῖς ταῖς ἐλπίσι, Σιλουανὲ τρισμάκαρ, τὸ γὰρ Πνεῦμα καθηγητήν, σὲ κατέστησεν Ὅσιε, τῆς οἰκουμένης, ἀπλανέστατον.

Πτῶσις ψυχαῖς ἀνδρείαις ἐγγίνεται, ἀνορθώσεως οἰκονομία, τῆς θεογνωσίας ὑπόθεσις, καὶ ἐχθροῦ τελεία καθαίρεσις, νοερῶς γὰρ πάσας τὰς δυνάμεις, τῷ πόθῳ, τῶν οὐρανίων ὑποτάττουσι, καὶ μόνον, πρὸς τὸν Θεὸν κατευθύνουσιν, ἔνθεν μετέχουσι πλουσίως, δωρεῶν ἀκτίστων, καὶ Ἀδὰμ παλαιόν, ἐκδυόμενοι σύμμορφοι, τῷ Χριστῷ ἀναδείκνυνται.

Προῖκα, σωτηριώδη εἴληφας, τὴν μετάνοιαν ἐκ Θεοτόκου, ὅτε γὰρ τὸν ὄφιν κατέπιες, τότε παρ' Αὐτῆς ἐξελήλεγξαι, μὴ ἀρεσκομένης τῷ σῷ βίῳ, καὶ πόθος ὁ τῆς ἀσκήσεως ἀνέφλεξε, ψυχήν σου, Σιλουανὲ παμμακάριστε, ὅθεν κλαυθμὸν κλεῖδα ἐφεῦρες, δι' ἧς ἤνοιξας οἰκτιρμῶν, Κυρίου τὸ πέλαγος, ἐν τῷ Ἄθω βιώσας ἄριστα.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος πλ. β΄.

Ὁ φιλανθρωπότατος Θεός, Χριστὸς ὁ Κύριος, νέαν παράκλησιν ἡμῖν, ἐπ᾽ ἐσχάτων καὶ Εὐαγγέλιον ἔμπνουν, εἰκόνα τε Αὐτοῦ ἀκηλίδωτον, Σιλουανὸν τὸν παμμακάριστον ἐχαρίσατο. Πρὸς ὃν ὡς πατρὶ ἀτενίζοντες, πνευματικῆς χαρμονῆς πληρούμεθα καὶ ὡς ἀσφαλῆ ὁδηγὸν τοῦτον ἔχοντες, τὴν πορείαν πρὸς Θεόν, ἀκλινῶς ποιούμεθα. Ὅθεν εὐγνωμόνως ἀναφωνοῦντες, πρὸς Αὐτὸν ἀνακράζομεν· Δόξα σοι Κύριε, ὁ ἐν ἑκάστῃ γενεᾷ ὡς ἀστέρας πολυφώτους τοὺς Ἁγίους σου ἐνδεικνύμενος, δι᾽ ὧν σὲ τὸν ἀνέσπερον Ἥλιον βλέποντες φωτιζόμεθα.

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε
ἢ τῆς προλαβούσης Ἑορτῆς.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον
καὶ τὰ Ἀναγνώσματα·

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. γ΄, 1-3)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα, οἱ

www.tezaurliturgic.ro

δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

(Κεφ. δ', 7-15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε

www.tezaurliturgic.ro


χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Προφητείας Ἰωὴλ τὸ ἀνάγνωσμα.

(Κεφ. γ', 1-4)

Τάδε λέγει Κύριος· καὶ ἔσται μετὰ ταῦτα καὶ ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται. Καὶ ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου. Καὶ δώσω τέρατα ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ· ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.

Εἴπωμεν. Καταξίωσον. Πληρωτικά.

www.tezaurliturgic.ro

## Εἰς τὴν Λιτήν.

### Στιχηρὰ Ἰδιόμελα.

Ἦχος α΄.

Ὡς ἀπαρχὴν πολυτίμητον ὁ κόσμος ἀρτίως τῷ Θεῷ προσάγει σε, Σιλουανὲ Θεοτίμητε, καὶ ὡς ἀντίβαρον τῆς ἀνομίας καὶ γλυκασμὸν ἀναιρετικὸν τῆς ἁμαρτητικῆς πικρίας· ἐξαιρέτως ὅμως χαίρει ἐπὶ σοὶ ὁ ἁγιότοκος Ἄθως, τῆς συνειδήσεως τὸ μέγα γυμναστήριον, ὡς σχὼν σε πύκτην νικηφόρον κατὰ τοῦ ἀντιπάλου ἐχθροῦ, καὶ ἐξ ὧν ἔπαθες οἰκουμενικὸν διδάσκαλον, δι' οὗ τὴν Χάριν ἀνευρίσκομεν καὶ τῷ Κυρίῳ οἰκειούμεθα.

Ἦχος β΄.

Τοῦ κόσμου ἔξω γενόμενος, εὐχαῖς τοῦ Ποιμένος τοῦ Θεοῦ, εἰσῆλθες Πάτερ εἰς τὴν κάμινον τοῦ Ἅδου, ὥσπερ χρυσὸς δοκιμώτατος, καὶ ταῖς φλοξὶν αὐτοῦ καταπυρωθείς, εὗρες τὴν ἀναψυχήν σου ἐν τόπῳ τῆς κατὰ Θεὸν ἡσυχίας, τῷ μοναχοτρόφῳ Ἄθωνι, ἔνθα Παντελεήμονος ἡ

www.tezaurliturgic.ro

Μάνδρα σε ἐδέξατο ὡς πρόβατον θεοδιψητικόν, καὶ ἐχάλκευσέ σε σκεῦος τιμιώτατον, δοχεῖον τοῦ Παρακλήτου, σάλπιγγα θείου ἔρωτος, κιθάραν μετανοίας, φόρμιγγα ἀγάπης τῆς ἀληθοῦς, καὶ τῶν ἀκτίστων ἐνεργειῶν μηνύτορα.

Ἦχος γ'.

Ἔστησας ἐπὶ πέτραν τοὺς πόδας σου, Σιλουανὲ τῆς μετανοίας, λογιζόμενος ἀνυπερθέτως, ὅτι ἐνταῦθα ἀποθανοῦμαι διὰ τὰς ἁμαρτίας μου· ὅθεν διὰ τῆς ἀδιαλείπτου μνήμης τοῦ Κυρίου, τὴν τῆς προσευχῆς ἐνέργειαν παρὰ τῆς Θεομήτορος ἐδέξω ὥσπερ βράβευμα, δι' ἧς τῶν δαιμόνων τὰς ἀναιδεῖς φαλαγγαρχίας νενίκηκας, ὡς ἄγγελος βιῶν, ἀγρύπνως ἱστάμενος καὶ τῷ Κυρίῳ παριστάμενος. Ταύτης τῆς χάριτος καὶ ἡμᾶς ἀξίωσον, τοὺς ἀνυμνοῦντας τὴν μνήμην σου.

Ἦχος δ'.

Τὴν τοῦ δεσπότου παρουσίαν ἔχων ἀεὶ πρὸ ὀφθαλμῶν σου, ὡς πιστὸς οἰκονόμος τῆς χάριτος Αὐτοῦ, ἐν τῷ μύλωνι τοὺς ἀδελφούς σου διηκόνεις, ἔνθα καὶ ἠξίωσαι τῆς τοῦ Χριστοῦ ἀρρήτου ἐμφανείας, τοῦ Ἄρτου τῆς ζωῆς, Ὅνπερ φαγὼν μυστικῶς, εἰσέδυς εἰς τὴν τῶν μυστηρίων ἐντρύφησίν τε καὶ κατανόησιν, πολλοῖς τρόποις οἰ-

www.tezaurliturgic.ro

κονομικῶς ἐγκαταλειπόμενος, ἵνα τὴν Χάριν διψητικώτερον ἀναζητήσῃς, Ἧς καὶ ἡμᾶς μετόχους Πάτερ ποίησον, Σιλουανὲ θεοπτικώτατε.

Δόξα. Ἦχος πλ. α΄.

Ἐν Ἁγίῳ Πνεύματι τὸν Ζῶντα Χριστὸν ἑωρακώς, τὸ περισσὸν τῆς ζωῆς εἴληφας, Σιλουανὲ ὁσιώτατε. Καὶ σύμμορφος γενόμενος τῆς εἰκόνος Αὐτοῦ, ἀνώρθωσας πολλὰς ἰγνύας παραλελυμένων, τῆς ἁμαρτίας τῷ δυσβαστάκτῳ βάρει, καὶ ἐμπειρίᾳ βιώσας τὴν ἀνάστασιν τῆς ψυχῆς, τὴν εἰς Θεὸν πίστιν ἑδραιοτέραν εἰργάσω, περιλαμπόμενος τῷ Θαβωρίῳ φωτί. Διὸ τούτου κῆρυξ Πάτερ γέγονας, οὕτως οἰκονομήσαντός σοι τοῦ Θεοῦ, καὶ παρ' ἡμῶν δέχῃ εὐγνωμοσύνης τὰ ψελλίσματα, ἀνθ' ὧν παράσχου ταῖς ἀηττήτοις σου εὐχαῖς, τὴν Χάριν τοῦ Πνεύματος.

Καὶ νῦν. Μακαρίζομέν σε ἡ τῆς Ἑορτῆς.

## Εἰς τὰ Ἀπόστιχα.

Στιχηρὰ προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις, Σιλουανὲ θαυμαστέ, ἡ τῆς Ρωσσίας θεοβλάστητος καύχησις, τοῦ Ὄρους τοῦ Ἄ-

www.tezaurliturgic.ro

θω δόξα, τῆς Ἐκκλησίας Χριστοῦ, Χάριτος τῆς θείας κήρυξ μέγιστος, πιπτόντων ἀνόρθωσις, ἱσταμένων παράκλησις, ἀπηλπισμένων, εἰς Χριστὸν ἡ ἑδραίωσις, ταπεινώσεως, ἔμπνους βίβλος μακάριε, ὅθεν ἀνευφημοῦντες σε, δεόμεθα Ὅσιε, ἐγκατοικῆσαι καρδίαις, ἡμῶν τὸ Πνεῦμα τὸ Ἅγιον, εὐχαῖς σου ἁγίαις, πρὸς Θεὸν Ὃν τῷ σῷ βίῳ, τρανῶς ἐδόξασας.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Χαίροις, ὁ συναφθεὶς τῷ Χριστῷ, τῇ ἐνεργείᾳ δωρεῶν τῶν τῆς Χάριτος, τὴν ἄρσιν αὐτῆς μὴ φέρων, οὐδόλως Σιλουανέ, ἣν ζωήν σου ἔγνως ἀψευδέστατα, εὐχὴν ἐργαζόμενος, μέχρις αἵματος Ὅσιε, κλαυθμὸν ὡσαύτως, ὑπὲρ πάσης τῆς κτίσεως, ἐξαιρέτως δὲ τῶν νεκρῶν ὦ φιλόψυχε, πρόβλημα εἰς διήγησιν, ὁ βίος σου πρόκειται, ἡμῖν μακάριε ὅτι, ἀέρα ἄλλον τοῦ Πνεύματος, ἀνέπνεις ἡμεῖς δέ, ταῖς τοῦ βίου πραγματείαις, ἐγκυλινδούμεθα.

Στίχ. Καυχήσονται Ὅσιοι ἐν δόξῃ...

Χαίροις, ὁ τῶν κλεπτῶν λογισμῶν, ἀφανιστὴς καὶ τῶν δαιμόνων ἀναίρεσις, καρδίας ὁ νήφων φύλαξ, αἰσθητηρίων λαμπρά, τράνωσις παμμάκαρ καὶ συνένωσις, ρομφαία ἡ σφάττουσα, τὴν

www.tezaurliturgic.ro

κενόδοξον κίνησιν, φωτὸς ἀκτίστου, ἡ σκηνὴ ἡ ὑπέρλαμπρος, μέγα καύχημα, ὄρους Ἄθω μακάριε, ἔνθα περ καὶ μεμύησαι, ἀρρήτων μυστήρια ἃ ὀφθαλμὸς οὔτε εἶδε, καὶ νοῦς ἀνθρώπου εἰργάσατο, τὸ στόμα Κυρίου, διαγγέλον τοῖς ἀνθρώποις, τὸ θεῖον θέλημα.

Δόξα. Ἦχος πλ. δ'.

Δέχου καὶ μὴ ἀπόρριπτε συμπαθέστατε Πάτερ, τὴν αἴνεσιν ταύτην τὴν μικρὰν πλὴν ὅμως φιλοπάτορα. Τίσι γὰρ λόγοις Ὅσιε, τὸν θαυμαστόν σου βίον ἐπαινέσωμαι; ὅτι γέγονας τῶν παλαιῶν ἀσκητῶν ἰσοβάθμιος, καὶ ὁδηγεῖς πρὸς τὴν γνῶσιν τοῦ Θεοῦ πεπλανημένας ψυχὰς ὥσπερ ἀστὴρ ἑωθινός, ἐν νυκτὶ βαθείᾳ τῆς σκοτώδους ἁμαρτίας. Καὶ τὴν κτῆσιν διδάσκεις τοῦ Πνεύματος, οὐ λογιστικῶς, ἀλλὰ βιωματικῶς. Ὅθεν σε Σιλουανέ, ὁρῶντες ἐκπληττόμεθα καὶ μακαρίζομεν τὴν ἐνεγκαμένην σε Χώραν, τὴν δὲ πνευματικήν σου πατρίδα μεγαλύνομεν, ἐν ᾗ καὶ τῆς ἁγιότητος πλήρης γέγονας. Πρέσβευε δεόμεθα, τῶν Ἀθωνιτῶν ἡ ἐσχάτη καὶ μεγάλη δόξα, ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Καὶ νῦν. Ἀνύμφευτε Παρθένε
ἢ τὸ τῆς προλαβούσης Ἑορτῆς.

Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστιν.
Ἀπολυτίκιον καὶ τὰ λοιπὰ ὡς συνήθως.

www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α′ στιχολογίαν. Κάθισμα.

Ἦχος α′. Τὸν τάφον σου Σωτήρ.

Ἀγάπης πρὸς Θεὸν καὶ τὸν πέλας θεόφρον, ἐπλήσθης δαψιλῶς, διὸ δέδεξαι Χάριν, νοεῖν τὰ μυστήρια, καὶ προβλέπειν τὰ μέλλοντα, ὅθεν ἅπαντες, τὸν χαριτόβρυτον βίον, μελετῶντές σου, Σιλουανὲ ἐκβοῶμεν, Χριστὲ ἡμῶν δόξα σοι.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον ὅμοιον.

Κυρία Μαριάμ, ἡ τοῦ Ἄθω προστάτις, ὡς ἄνθος νοητόν, ἐν τῷ κήπῳ σου τούτῳ, ἐφύτευσας Ὅσιον καὶ αὐτὸν ἐμεγάλυνας, ἀναδείξασα, σὺν τῷ χορῷ τῶν Πατέρων, οἵπερ πρότερον, ἐνταῦθα εὗρον τὴν δόξαν, θεώσεως Δέσποινα.

Μετὰ τὴν β′ στιχολογίαν, Κάθισμα.

Ἦχος δ′. Ταχὺ προκατάλαβε.

Ἀγάλλεται σήμερον Μονή σου Πάτερ φαιδρῶς, ἡ σὲ τιθηνήσασα καὶ ὥσπερ δῶρον Χριστῷ, ἐνέγκασα Ὅσιε, χαίρει δὲ ’Εκκλησία, ἐπὶ τῇ βιοτῇ σου, ἔχουσα μέγαν πρέσβυν, πρὸς Θεὸν καὶ Δεσπότην, Ὃν πάντοτε ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον, ὅμοιον.

Διδάσκεις Πανάμωμε, τὰς εὐαγώγους ψυχάς, ὡς πάνυ φιλόψυχος, ποικίλους τρόπους δι’ ὧν, Χριστῷ πλησιάσουσιν, ὥσπερ Σιλουανόν σου, καθωδήγησας Μῆτερ, πρῶτον τῇ μετανοίᾳ, καὶ τῇ Χάριτι εἶτα, δοξάσαντα τὸν Κύριον, ἐν ὄρει Ἄθωνος.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ′. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν σοφίαν τοῦ Λόγου μεμαθηκώς, πείρᾳ Πάτερ διδάσκεις πῶς δεῖ Αὐτῷ, ψυχὰς ἀνατίθεσθαι, καὶ ζητεῖν τὴν τοῦ Πνεύματος, ζωηφόρον Χάριν, κρατεῖν τε ἐνέργειαν, τῶν παθῶν καθαίρε-

www.tezaurliturgic.ro

σθαι, καὶ φῶς ὑποδέχεσθαι· ὅθεν χαρμοσύνως, τὴν σὴν μνήμην τελοῦντες, δεόμεθα Ὅσιε, συντηρεῖσθαι πρεσβείαις σου, καὶ αὐξάνεσθαι ἅπαντας, τῷ φόβῳ τοῦ γλυκέος Θεοῦ, τοῦ παρέχοντος πλοῦτον αἰώνιον, τοῖς προσιοῦσιν ἐν πίστει, Σιλουανὲ χριστόληπτε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἡ φιλάνθρωπον Κύριον Ἰησοῦν, δεξαμένη νηδύϊ σου μητρικῇ, φιλάνθρωπα σπλάγχνα σου, ἐπιδείκνυς ὦ Δέσποινα, γινομένη μήτηρ τοῦ θέλοντος σῴζεσθαι, καὶ παρέχεις τὴν Χάριν, πιστοῖς τελειότητος· ὅθεν καὶ σῷ δούλῳ, εὐχομένῳ παρέσχες, εἰκόνος ἐνώπιον, τῆς σεπτῆς σου θεόνυμφε, τὴν εὐχὴν ἀδιάλειπτον, ὡς ἔνδειξιν εὐνοίας Ἁγνή, ἧς περ ἤμελλε δέξασθαι, καὶ τῆς δόξης ἣν ἔχει, σὺν σοὶ παριστάμενος.

Οἱ Ἀναβαθμοί, τὸ α′ ἀντίφωνον τοῦ δ′ ἤχου
καὶ τὸ Προκείμενον·

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου
καὶ κατηύθυνε τὰ διαβήματά μου.

Εἶτα τό· Πᾶσα πνοὴ καὶ Εὐαγγέλιον,
τὸ Ὁσιακὸν (βλέπε τῇ ε′ Δεκεμβρίου).

www.tezaurliturgic.ro

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός,
κατὰ τὸ μέγα ἔλεός σου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Τοῦ πεπτωκότος Ἀδὰμ ἀναλαβὼν τὸν θρῆνον Πάτερ, ἀπεξεδύσω τὴν φθοράν, καὶ Χριστῷ συμμεμόρφωσαι, Ὅνπερ ἀξίωσον καὶ ἡμᾶς, Σιλουανὲ θεοπτικώτατε, ἐπενδύσασθαι πρεσβείαις σου.

Ὁ Ἱερεύς· Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

## Κανόνες

Ψάλλεται πρῶτον τῆς προλαβούσης Ἑορτῆς ἢ
τῆς Θεοτόκου εἰς στ΄ καὶ εἶτα τοῦ Ὁσίου οἱ δύο εἰς η΄.
Πρῶτον τοῦ δ΄ ἤχου, οὗ ἡ ἀκροστιχίς:
«Σιλουανέ, χορήγει μοι Πνεῦμα τὸ θεῖον.
Ἀ(θανάσιος)».

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Συνέσεως πλήρωσον, Πνεύματος Πάτερ καρδίαν μου, τολμῶντος ὑμνῆσαι σου βίον τὸν

ἔκλαμπρον, καὶ σωφρόνισον, Σιλουανὲ τρισμάκαρ, τὸν νοῦν τὸν ἀκράτητον, θείαις πρεσβείαις σου.

Ἰθύνας τὴν ἔφεσιν, πρὸς τὸν Θεὸν παμμακάριστε, Αὐτὸν ἐξεζήτησας, διψητικῶς ἐφευρεῖν, Οὗ ἐπέτυχες, καὶ Ὧ, προσεκολλήθης, παρ' Οὗ καὶ μεμύησαι, Πάτερ τὰ ἄρρητα.

Λογίζεται Ὅσιε, παντὶ ἀνθρώπῳ κατοίκησις, Θεοῦ ὥσπερ εἴρηκεν, καρδία ὁ Ἰησοῦς, ἔνθα εὕρηκας, Αὐτὸν Ὃν ἐπεζήτεις, ἀπίστου ἀμφίβολον, λύσας τὴν ἔννοιαν.

Θεοτοκίον.

Ὁ τόκος σου Δέσποινα, πυρὶ ἀγάπης κατέφλεξε καὶ ὄπισθεν ἥρμοσε, τῶν ἀσκητῶν τῷ χορῷ, ὃν ἐκάλεσας, ὁράματι Παρθένε, τὴν τούτου ἐξέλιξιν, προοιμιάζουσα.

Κανὼν ἕτερος

τὴν ὑπόθεσιν λαμβάνων ἐκ τῶν γραφῶν
τοῦ Ὁσίου Πατρός, οὗ ἡ ἀκροστιχίς·
«Δέχου καὶ μὴ ἀπόρριπτε μέλος, ὦ Ἀθωνῖτα.
Ἀ(θανάσιος)».

Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Δεσμευτικὴ ἡ ἀγάπη ἡ πρὸς Θεόν, πέφυκε πανάριστε, καὶ σοφὲ Σιλουανέ, ἧς περ πεῖραν εἴληφας σαφῶς, καὶ παρέχεις δαψιλῶς τοῖς σοὶ προστρέχουσι.

Ἐπιποθοῦσαν ψυχήν σου Χριστὸς ἰδών, ὕδατος ἐνέπλησεν ἀγαπήσεως Αὐτοῦ, Πνεύματι Ἁγίῳ φανερῶν, σοὶ μυστήριον τρανῶς, ἐνανθρωπήσεως.

Χέει ἀγάπην τοῖς πᾶσιν ὁ Ἰησοῦς, ὅσοι μετὰ πίστεως, θεῖον ἔλεος Αὐτοῦ, ἐκζητοῦσι καὶ ἑλκυστικῶς, προσκολλῶνται ὡς Θεὸς φιλανθρωπότατος.

Θεοτοκίον.

Ὁ ἐπιγνοὺς Θεομῆτορ ὕψος τὸ σόν, Πνεύματι ἐξέλκεται, ἀκρατήτως πρὸς Θεόν, καὶ αἰτεῖται γνῶναι τοὺς λαούς, δυναστείαν τὴν Αὐτοῦ, οὕς περ διέπλασε.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ὑψῆφε Χριστὸς προγονικήν σου, εὐσέβειαν Πάτερ ἐπὶ πρός, συμβάλλεται γὰρ φύσεως,

www.tezaurliturgic.ro

προαίρεσις τῇ Χάριτι, καὶ κεχραμένη δείκνυται, λαμπρὸν Θεοῦ ἀποτέλεσμα.

Ἀνόνητον χρόνον ὡς ἐπέγνως, τὸν ἄνευ τῆς μνήμης τοῦ Θεοῦ, εὐθέως χεῖρα ἔβαλες, ἐπ' ἄροτρον θεόσοφε, Σιλουανὲ πληττόμενος, τῷ κέντρῳ τῆς συνειδήσεως.

Νεότητος πτώσεις σοι βαθμίδες, ἐγένοντο Πάτερ πρὸς Θεόν, Ὅνπερ λυπῆσαι πώποτε, θέμενος ἐν καρδίᾳ σου, τῇ μετανοίᾳ ὕστερον, μεγάλως ἐχαροποίησας.

Θεοτοκίον.

Ἐνέσπειρας πνεῦμα μετανοίας, Παρθένε τῷ νέῳ Συμεών, ὀφθεῖσα ἐν ὁράματι, καὶ θαυμαστῶς καλέσασα, ποιεῖν Θεῷ ἀρέσκοντα, καὶ πράττειν Τούτου τὸ θέλημα.

Κανὼν δεύτερος. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Ὑπερηφάνῳ λογισμῷ, πνεῦμα εὐχῆς οὐκ ἔστιν, ἀλλὰ δίδοται Χάρις, προσευχῆς τῷ ταπεινῷ, Σιλουανὸς ἐκβοᾷ, καὶ ποιοῦντι τοῦ Θεοῦ τὸ θέλημα.

www.tezaurliturgic.ro

Καρδία ἥνωται νοΐ, δι' εὐχῆς ἀρεμβάστου, καὶ ἁπλότητι τρόπων, ἐπομβρίᾳ τε Θεοῦ, ταπεινουμένη δ' εὐθύς, τῷ Κυρίῳ, οἰκειοῦται Χάριτι.

Ἁγίῳ Πνεύματι Χριστός, τῇ ψυχῇ φανεροῦται, καὶ ἀγάπῃ ἑδρεύει, ἐν αὐτῇ εὐφραντικῶς, χαροποιῶν θαυμαστῶς, ὥσπερ νύμφην, ἥνπερ ἐξελέξατο.

Θεοτοκίον.

Ἱλέωσαι τὸν σὸν Υἱόν, Παναχήρατε Μῆτερ, καὶ εὐχαῖς σου παράσχου, εὐχομένοις τὴν εὐχήν, καθάπερ τῷ Σιλουανῷ, εὐχομένῳ, προσευχὴν κεχάρισαι.

Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὴν ὡραιότητα, τῆς μετανοίας σου, ἰδὼν ὁ Κύριος, τὸ θεῖον ἔλεος, πλουσίως ἔδειξε σοφέ, βραβεύων τὴν ἀνδρείαν σου, καὶ γνωστῶς ἐγνώσθη σοι, οἰκουμένης διδάσκαλον, σὲ προχειρισάμενος, δι' ὧν πείρᾳ μεμάθηκας, διδάσκειν πῶς τὸ Πνεῦμα τὸ θεῖον, Σιλουανὲ ψυχαῖς ἐγγίνεται.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

www.tezaurliturgic.ro

Ἐπαγγελίας σου, Παρθένε ἔχοντες, Ὄρους οἱ τρόφιμοι, ἅς περ ἐπήγγελσαι, Πέτρῳ τῷ πρώτῳ ἀσκητῇ, τοῦ Ἄθω τῷ θεμελίῳ, χαίρουσι λαμβάνοντες δωρεάς σου καὶ χάριτας, ὡς Σιλουανὸς Σεμνή, καὶ βεβαίως ἐλπίζουσι, λαβεῖν τὴν Οὐρανῶν Βασιλείαν, ὑπεσχημένων τὴν ἀκρώρειαν.

ᾨδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Χῦμα Πάτερ μετανοίας, τὴν ψυχήν σου ἐκάλυψεν, κρίσεως τὴν ὥραν, ἀναζωγραφοῦν πρὸ ὀμμάτων σου, καὶ ὑπανάπτον τὸν πόθον θείου Σχήματος, δι' οὗ σῴζεται, πᾶς ὁ τηρῶν τὰ ἐντάλματα.

Ὁ σοφὸς ποιμὴν Κροστάνδης, τῇ εὐχῇ σε ἐνεύρωσεν, κόσμου ἀποστῆναι, διὰ τῆς τοῦ ᾅδου αἰσθήσεως, οὗ αἱ παφλάζουσαι φλόγες ἕως Ἄθωνος, ἠκολούθησαν, Σιλουανὲ τὴν πορείαν σου.

Ῥήματι βραχεῖ λυσσῶντα, κύνα Πάτερ ἐδίωξας, πείρᾳ γὰρ Κυρίου, ἔγνως ἐπικλήσεως δύναμιν, δι' ἧς ἀφίστανται πόρρω οἱ μισόψυχοι, καὶ ἐγκάθηται, ἐν τῇ καρδίᾳ Εἰρήναρχος.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἠφατό σου Θεοτόκου, εὐδοκία μακάριε, καὶ ἐκάλεσέ σε, μεῖναι ἐν τῷ Ὄρει τοῦ Ἄθωνος, καὶ ἀπολαῦσαι ἐνταῦθα ὑποσχέσεων, ὧνπερ δέδωκεν, Αὐτῇ Υἱὸς ὁ παμφίλτατος.

Ἕτερος. Χριστός μου δύναμις.

Μεγίστη πέφυκε, φύλαξις Χάριτος, ἡ συντριβὴ τῆς καρδίας διηνεκῶς, ᾅδου ἡ ἐνθύμησις, ἀπελπισμοῦ ἀποβολή, ἐκ ψυχῆς Πάτερ ἐδίδαξας.

Ἡ Χάρις δίδοται, τοῖς ταπεινόφροσι, διὰ δακρύων δὲ θάλλει θεοπρεπῶς, καὶ ψυχὴ παράδεισος, μεταποιεῖται εὐθύς, ἔνδυμα θεώσεως φέρουσα.

Ἁγίῳ Πνεύματι, ἡ γνῶσις ἔρχεται, τῶν μυστηρίων θεότητος ἀκριβῶς, καὶ χρηστὸν αἰσθάνεται, τὸν Ἰησοῦν ἡ ψυχή, ὡς Σιλουανὸς πείρᾳ εἴρηκε.

Θεοτοκίον.

Παρθένε Πάναγνε, πάντων ὑπέρκεισαι, τῇ ταπεινώσει δειχθεῖσα τῷ Ταπεινῷ, Μήτηρ καὶ λοχεύτρια, διὸ φιλεῖς τοὺς ταπεινούς, οἰκειοῦσα, τούτους τῷ Δεσπότῃ σου.

'Ωδὴ ε'. 'Εξέστη τὰ σύμπαντα.

Γρηγόρως κατείληφας, τὸ Ὄρος τὸ τοῦ Ἄθωνος, καὶ Παντελεήμονος εἰς Μάνδραν, καθυπετάγης, ὡς στρατιώτης Χριστοῦ, μάρτυς συνειδήσεως ὀφθείς, Πάτερ ὑπαλείπτην σου, ἔχων Μεγαλομάρτυρα.

Εἰρήνευσας Ὅσιε, λαβὼν ἀνομημάτων σου, ἄφεσιν τελείαν ἐν Κυρίῳ, ἀλλ' ὁ ἐχθρός σοι, σφοδρῶς ἐπέθετο, ὅνπερ ἀπελάκτισας εἰπών, ᾧδε ἀποθνήξομαι, διὰ τὰς ἁμαρτίας μου.

Ἱ λέως ἐπέβλεψεν, ἐπὶ ψυχήν σου Κύριος, δούς σοι ὡς διδάσκαλον Παρθένον, ὑφηγουμένην εὐχῆς ἐνέργειαν, ἥν περ ὁ βασκαίνων τὰ καλά, Πάτερ ἐπεφθόνησε καὶ ὀμφαῖς πονηραῖς κατεπόνησε.

Θεοτοκίον.

Μὴ μόνον ἐάσῃς με, Κυρία Παναμώμητε, πρὸς τὸν πονηρὸν ἀναλαβόντα, πόλεμον μέγαν καὶ δυσκατόρθωτον, ὅθεν σὺν πατρὶ Σιλουανῷ, Δέσποινά μου πρόφθασον, καὶ σβεννύμενον λύχνον ὑπάναψον.

῞Ετερος. 'Εκ νυκτὸς ὀρθρίζοντα.

Ο φιλῶν ποιεῖν αὐτοῦ τὸ θέλημα, πόρρω διώξεται, τὴν εἰρήνην τῆς ψυχῆς, ἣν χορηγεῖ τὸ Πνεῦμα, ὡς πείρᾳ ἐκδιδάσκει, Σιλουανὸς εἰρήνης σκήνωμα.

Ρητορεύει Πνεύματι ὁ ῞Οσιος, εἰρήνη ἔρχεται, δι' ἀγάπης τῇ ψυχῇ, καὶ γνώσει θείου λόγου, καὶ βασιλεύει αὐτῆς, Χριστὸς ῎Αρχων εἰρήνης.

Ρωννυμένη ἡ ψυχὴ τῷ Πνεύματι, δέομαι Κύριε, τὴν εἰρήνην δὸς λαοῖς, κράζει ἐκ τῶν βαθέων, ἵνα προσώπου τοῦ σοῦ, τοῦ κάλλους ἐμπλησθῶσι.

Θεοτοκίον.

Ι' ατρὸν γεγέννηκας Πανάχραντε, εἰρήνης πρύτανιν, τὰς δυνάμεις τῆς ψυχῆς, πρῴην διεσχισμένας, συναγαγόντα εἰς ἕν, τῷ τοῦ Σταυροῦ ἐλέει.

'Ωδὴ στ'. Τὴν θείαν ταύτην.

Ο ρῶν δαιμόνων τὸν πόλεμον, καὶ τούτων ἐκμαθὼν ἀφιλάνθρωπον, ἔγνως τρισόλβιε, τοῦ Φιλανθρώπου ἀντίληψιν, ῝Ον τρόμῳ πρῴην εἴρηκας ἀδυσώπητον.

www.tezaurliturgic.ro

Ἰδοὺ Χριστός σοι ὀπτάνεται, ἐν μύλωνι ὁ Ἄρτος ὁ τίμιος, καταπληρώσας σου, θεογνωσίας τὴν ὕπαρξιν, ἀρρήτως ἐν Ἁγίῳ, Πνεύματι Ὅσιε.

Πυρὸς ἐγένου συνόμιλος, ὃ ἤνεγκε Χριστὸς σωματούμενος, δροσῖζον ἅπαντας, καὶ τῷ φωτὶ κατεκάλυψαι, ὡς ἐν Θαβὼρ τρισμάκαρ θεῖοι Ἀπόστολοι.

Θεοτοκίον.

Νοεῖ ἑτέρως θεόνυμφε, τοῦ κόσμου ὁ μετέχων τοῦ Πνεύματος, Θεὸς ἐπίγειος, φιλανθρωπίᾳ γινόμενος, Σιλουανὸς γὰρ ἔστι, τοῦ λόγου ἔνδειξις.

Ἕτερος. Τοῦ βίου τὴν θάλασσαν.

Παράκλητε Ἅγιε, σκεῦος εὗρες καθαρόν, Σιλουανὸν θεόφρονα, ὃν Χάριτί σου ἐμπλήσας μαρτυρικῆς, νοεῖν παρεσκεύασας, καὶ διψᾶν παραφόρως χριστοπάθειαν.

Τῆς χάριτος πίπτουσα, ἡ ψυχή μου δειλιᾶ, καὶ ἐκβοᾷ χηρεύουσα, μή με ἐάσῃς Παράκλητε ὀρφανήν, ζωή μου ἡ ὄντως Σύ, καὶ μακράν σου, μόνον ἔστι θάνατος.

www.tezaurliturgic.ro


Ἐλέους Σου Δέσποτα, πλήρης ἅπασα ἡ γῆ, ἐν ᾧ ζωοῦται ὕπαρξις, καὶ ἑλκομένη ὀπίσω ἀκολουθεῖ, ὡς βρέφος τῇ Χάριτι, τρεφομένη, αὔξει εἰς τελείωσιν.

Θεοτοκίον.

Μαρία Πανάχραντε, διηγοῦ τῷ σῷ λαῷ, πῶς τὸν Χριστὸν ἠγάπηκας, καὶ εὐχομένη πῶς ἤνεγκας χωρισμόν, Αὐτὸν ἀνερχόμενον, πρὸς Πατέρα, ὅτε ἐθεώρησας.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὡς πολὺ ἠγάπησας
καὶ πολλὴν εὗρες,
Χάριν θείου Πνεύματος,
Σιλουανὲ παρὰ Χριστοῦ,
ὅθεν τὰ ἔθνη βοῶσί σοι·
Χαίροις ὦ Πάτερ,
Πατέρων παγκόσμιε.

Ἕτερον. Ἦχος πλ. δ΄. Ὅτε καταβάς.
Ποίημα Παύλου Ἱερομονάχου.

Ὅτε ἐπὶ γῆς Χριστῷ διηκόνησας, πορευόμενος Τούτου τοῖς ἴχνεσι· νῦν ἐν οὐρανοῖς ὁρᾷς Ὃν ἐπόθησας, καὶ συμμένεις Αὐτῷ ὡς ὑπέσχετο. Διὸ Πάτερ με δίδαξον, ἣν σὺ ὥδευσας τρίβον.

www.tezaurliturgic.ro

Ὁ Οἶκος.

Γλυκυτάτου Χριστοῦ πεῖραν ἔχοντες,
οἱ σεπτοὶ μαθηταὶ Τούτῳ ἔλεγον,
φίλτρον ἀγάπης τὸ μὲν ἐπιδεικνύμενοι,
τὸ δὲ ζωὴν ἑτέραν ὡς μηδὲν λογιζόμενοι·
Κύριε, ποῦ πορευσόμεθα;
τίνος ἑτέρου ὀπίσω ἀκολουθήσομεν;
τῆς ζωῆς σου ὑπὲρ λόγον ἐνεπλήσθημεν,
χωρὶς δὲ σοῦ βιοῦν οὐ δυνάμεθα.
Οὓς ἐσχάτως Σιλουανὸς ἐκμιμούμενος
οἰκουμένην τῷ πανοσίῳ βίῳ αὐτοῦ κατέπληξε.
Τὸν Χριστὸν γὰρ ὑπερφυῶς θεασάμενος
καὶ τῆς Χάριτος πείρᾳ γνοὺς τὰ μυστήρια,
ὁδηγεῖ νῦν πρὸς Θεοῦ τὴν ἀγάπησιν,
τοὺς λαοὺς ὑπὲρ ὧν καὶ ἀεὶ εὔχεται,
ἵνα τῆς θεογνωσίας ἐμπλησθῶσι
καὶ τοῦ Πνεύματος μέτοχοι γενήσωνται.
Διὸ εὐγνωμόνως τούτῳ τὰ ἔθνη ἅπαντα
ὡς διδασκάλῳ βοῶμεν·
Χαίροις ὦ Πάτερ, Πατέρων παγκόσμιε.

Τὸ Συναξάριον τῆς ἡμέρας καὶ εἶτα τὸ παρόν·

Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ποιούμεθα τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Σιλουανοῦ τοῦ Ἀθωνίτου ἀσκήσαντος ἐν τῇ ἐν Ἁγίῳ Ὄρει Ἱερᾷ Μονῇ τοῦ ἁγίου μεγαλομάρτυρος Παντελεήμονος Ρωσσικοῦ, θεοφιλῶς δὲ τελειωθέντος ἐν Κυρίῳ τῇ 11ῃ/24ῃ Σεπτεμβρίου τοῦ σωτηρίου ἔτους 1938.

www.tezaurliturgic.ro

## Στίχοι

Χριστόν, Ὅν εἶδες Σιλουανὲ πρὶν βίῳ
Αὐτὸν νῦν βλέπεις, ἀλλ' οὐχὶ ἐν ἐσόπτρῳ.

Γάννυται πατρὶς ἡ σὴ φύσει, ὦ Πάτερ,
χαίρει Ἄθως δὲ ἐν Πνεύματί σε θρέψας.
Δασώνυμον οὐρανὸς μέγαν δέξατο Ἀθωνίτην.

Σιλουανὸς οὗτος, ὁ τῆς ἐπουρανίου Ἱερουσαλὴμ πολίτης, γονέων ὑπῆρξεν εὐσεβῶν, ἐκ τῆς τῶν Ρώσων χώρας ὁρμωμένων, ἀπὸ κώμης τελούσης ὑπὸ τὴν Μητρόπολιν Ταμπώβης, Σὸβσκ καλουμένης. Ἐγεννήθη δὲ τῷ χιλιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ καὶ ἕκτῳ ἔτει ἀπὸ τῆς τοῦ Θεοῦ Λόγου κατὰ σάρκα γεννήσεως, ἐκ νεότητος κληθεὶς εἰς μετάνοιαν ὑπ' Αὐτῆς τῆς πανυμνήτου Θεοτόκου καὶ ἀπειπαρθένου Μαρίας.

Τοῦ εἰκοστοῦ ἑβδόμου τοίνυν τῆς ἡλικίας αὐτοῦ χρόνου εἰσεληλυθότος, ἀπετάχθη τοῖς βιωτικοῖς καί, πρὸς ἐφόδιον λαβὼν τὰς τοῦ ἐν ἁγίοις Ἰωάννου τῆς Κροστάνδης εὐχάς, ἀνεχώρησεν εἰς τὸ κατ' Ἑλλάδα περιφανέστατον Ὄρος τοῦ Ἄθω, ὑποδὺς τὸν μοναδικὸν ζυγὸν ἐν τῷ Μοναστηρίῳ τοῦ ἁγίου μεγαλομάρτυρος καὶ ἰαματικοῦ Παντελεήμονος.

Ἐκδεδωκὼς οὖν ἑαυτὸν ὁλοψύχως τῷ Θεῷ, ἐν ὀλίγῳ χρόνῳ οὐ μόνον τὴν ἄπαυστον ἔλαβεν εὐχὴν παρὰ τῆς Ὑπεραγίας Θεοτόκου δωρεάν, ἀλλὰ καὶ θεοφανείας ἀρρήτου ἠξιώθη ἐν τῷ σεβασμίῳ οἴκῳ τοῦ ἁγίου Προφήτου Ἠλιού, τῷ ὄντι παρὰ τῷ μυλῶνι τῆς εἰρημένης Μονῆς.

Ὑποσταλείσης μέντοι τῆς πρώτης Χάριτος, πένθει

www.tezaurliturgic.ro

μεγάλῳ ὁ πανόσιος συσχεθείς, καὶ πλείστοις, παραχωρήσει Θεοῦ, παραδοθεὶς τῶν νοητῶν ἐχθρῶν πειρασμοῖς, ἐνιαυτοὺς πέντε καὶ δέκα, τοῖς ἴχνεσιν ἐπακολουθῶν τοῦ Χριστοῦ, «δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σῴζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας» (Ἑβρ. ε΄ 7), διδακτὸς Θεοῦ γενηθεὶς (πρβλ. Ἰωάν. στ΄ 45), ἄνωθεν ἐνηχεῖται νομοδότου φωνῆς· «Κράτει τὸν νοῦν σου εἰς τὸν ᾅδην καὶ μὴ ἀπελπίζου». Ἥνπερ ὡς κανόνα τηρήσας ἀπλανῆ, ἔδραμε τὴν ὁδὸν Ἀντωνίου, Μακαρίου, Σισώη, Ποιμένος καὶ τῶν ἄλλων κλεινῶν καθηγητῶν τῆς Ἐρήμου, ὧν καὶ τὰ μέτρα κατέλαβε καὶ χαρίσματα, ἀποστολικὸς καὶ προφητικὸς διδάσκαλος φανεὶς ζῶν καὶ μετὰ θάνατον.

Κατέλιπε γὰρ γραφὰς πλήρεις Χάριτος καὶ Πνεύματος Ἁγίου, ἃς ἐξέδοτο ὁ τούτου μαθητὴς καὶ φοιτητὴς Γέρων Σωφρόνιος, ὁ Κτίτωρ καὶ Ἀρχιμανδρίτης τῆς ἐν Βρεττανῶν νήσῳ Μονῆς τῶν εὐσεβῶν Ὀρθοδόξων. Καὶ τί χρεία ἐνταῦθα πλειόνων περὶ τοῦ πανοσίου Σιλουανοῦ λόγων; ὅπου γε προλαβὼν ὁ ἀββᾶς οὗτος τὸν ἐκείνου βίον καὶ διδαχὴν ἀκριβῶς καὶ κατὰ πλάτος ἐξέθετό τε καὶ συνεγράψατο ἐν ἀρχῇ τῆς δέλτου τῶν θείων τουτωνὶ καὶ μελιρρύτων γραφῶν. Ἥτις δέλτος διδάσκει, ὡς ἔξεστι τοῖς ἐντυγχάνουσι παρατηρῆσαί τε καὶ γνῶναι, ἡλίκος ὁ τοῦ Κυρίου οὗτος ἀθλητής, καὶ ὅπως τῇ τῶν ἐντολῶν ἀκριβεῖ τηρήσει, νεκρωθεὶς παντελῶς τῷ βίῳ, Χριστὸν ἐν αὐτῷ ζῆν, κατὰ Παῦλον ἐκτήσατο (Γαλ. β΄ 20), βίβλος ἄλλοις θεόπνευστος γενόμενος γεγραμμένη καλάμῳ τοῦ Πνεύματος. Πιστοῦσι τὸν λόγον οἱ δι᾿ αὐτοῦ «ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν» (Πράξ. β΄ 5) «εἰς ἐπίγνωσιν ἀληθείας» (Α΄ Τιμ. β΄ 4) ἐλθόντες πολλοί, καὶ νῦν ἔτι ἐρχόμενοι.

www.tezaurliturgic.ro

Ἦν γὰρ ὁ θαυμάσιος «πρᾶος καὶ ταπεινὸς τῇ καρδίᾳ» (Ματθ. ια´ 29), διάπυρος πρὸς Θεὸν παρακλήτωρ ὑπὲρ σωτηρίας πάντων ἀνθρώπων, καὶ κήρυξ ἀσύγκριτος τῆς εἰς ἐχθροὺς ἀγάπης, ἧς οὐδὲν ἀσφαλέστερον τῆς τοῦ θείου Πνεύματος ἀληθοῦς παρουσίας τεκμήριον.

Μεταβέβηκε δὲ ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν ὁ μακάριος οὗτος Ὅσιος Σιλουανός, πλήρης ἡμερῶν τῶν τοῦ πνεύματος, μηνὶ Σεπτεμβρίῳ εἰκοστῇ τετάρτῃ, ἔτους χιλιοστοῦ ἐννεακοσιοστοῦ τριακοστοῦ καὶ ὀγδόου, βασιλεύοντος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Ὧ, ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς αὐτοῦ καὶ πάντων σου τῶν Ἁγίων
πρεσβείαις, Χριστὲ ὁ Θεός,
ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## Ὠδὴ ζ´. Οὐκ ἐλάτρευσαν.

Ἐλεήμονος, Θεοῦ ἐγεύθης Ὅσιε, τὴν ἀγαθότητα, τὸ περισσὸν τῆς ζωῆς, ἀρρήτως ἐκχέαντος ἐπὶ σὴν ὕπαρξιν, ὅθεν ἔκραζες, ὁ τῶν πατέρων Κύριος, ὁ αὐτός με ἐπεσκέψω.

Ὑποτύπωσις, τοῖς μέλλουσιν ἐνέργειαν, λαβεῖν τοῦ Πνεύματος, ὑπῆρξε σὴ βιοτή, ᾗ πόθῳ ἐγγίζοντες, Θεὸν δοξάζομεν, ἀναδείξαντα, τοιοῦτον μέγαν μάρτυρα, τῆς Αὐτοῦ φιλανθρωπίας.

www.tezaurliturgic.ro

Μετανοίας σου, ἡ δύναμις ἀνέκφραστος, Σιλουανὲ θαυμαστέ, οὐκέτι λυπῆσαι γάρ, Θεὸν τὸν φιλάνθρωπον, Πάτερ ἐσπούδασας, ἐργαζόμενος, εἰρήνην συνειδήσεως δι' ἀγάπης φιλοθέου.

Θεοτοκίον.

Ἅδης Δέσποινα, ὑπάρχει καὶ ἀπώλεια, χωρὶς τοῦ Τόκου Σου, Ζωῆς τῆς ἀληθινῆς, διὸ τῆς καρδίας μου μὴ χωρισθῆναι Αὐτόν, καθικέτευε, ἀλλὰ εὐφραίνειν ἅπασαν, τὴν ζωήν μου εἰς αἰῶνας.

Ἕτερος. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἐλευθέρα ἡ ψυχὴ γνωρίζεται, πράττουσα τοῦ Θεοῦ ἐντολάς, κραταιοῦται δὲ τὸ πνεῦμα τῇ Χάριτι, καὶ μερίμνας ἀπωθεῖ κοσμικάς, κατεδαφίζον χαλκοῦν, τεῖχος θελήματος.

Λογισμῶν ἡ τρικυμία ἀφανίζεται, ὅταν ταπείνωσις ἐνοικήσῃ ψυχῇ, ἀναβλύζει δὲ εὐχάριστος διάθεσις, τοῦ Θεοῦ προνοουμένου ἡμῶν, καὶ συγχωροῦντος λαοῦ, μετανοοῦντος πταίσματα.

Ὀδυνᾶται ἡ καρδία πάσχουσα, ὅσον μειζότερον, τὸν Θεὸν ἀγαπᾷ, αἰσθομένη δὲ Αὐτοῦ τὴν γλυκύτητα, ἐφορμᾷ ἀπαύστως εἰς κατάληψιν, διακαῶς προτιμᾶν, τῆς τῶν παθῶν ἡδονῆς.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Συνημμένη σου Υἱοῦ θελήματι, ἴσχυσας Πάναγνε, ὑπομεῖναι σταυροῦ, τὴν ρομφαίαν καὶ τὸν θάνατον, ὥσπερ πάντες οἱ βοῶντες Θεῷ, ἰδοὺ ἡ δούλη σου ψυχή, τὸ συμφέρον γενηθήτω μοι.

'Ωδὴ η'. Παῖδας εὐαγεῖς.

Τέλος ἀρετῆς οὐκ ἔστι, Θεὸς γὰρ ἀόρατος διώκεται, ὅθεν Πάτερ Ὅσιε, τρέχων φόβῳ ἔτρεχες, καιρῷ ἐγκαταλείψεως ἀρθείσης Χάριτος, διόπερ, ἐπὶ πλέον ἐζήτεις, τὸν 'Ηγαπημένον καμάτοις φιλοθέοις.

Ὅρος προσευχῆς καρποφόρου, ταπείνωσις δέδοται σοφέ, καὶ ἡ τοῦ νοῦ κατάβασις, ᾅδου εἰς τὰ βασίλεια, ἀπελπισμὸς σωτήριος, ἡ τῶν Πατέρων ὁδός, ἣν πίστει, πορευθεὶς θεοφόρε, ἔφθασας εἰς μέτρα, 'Οσίου 'Αντωνίου.

Θέλων ὁ Πανάγαθος Δεσπότης, ραδίαν ἐργάσασθαι βροτῶν, τὴν σωτηρίαν ἔθηκεν, ὥσπερ θεὸν ἐπίγειον, δι' οὗπερ ἀναγόμεθα πρὸς Τούτου ἕνωσιν, πλησίον, ὡς γραφαῖς ἐκδιδάσκει, ὁ φιλαδελφίᾳ, Σιλουανὸς βιώσας.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἵνα τὴν μωρὰν Χριστὸς σοφίαν, διῶξαι θελήσας Παναμώμητε, τὴν σοφίαν Πνεύματος, ἁλιεῦσι δέδωκεν, ἧς μετασχὼν ὁ δοῦλος σου, Σιλουανὸς φωταυγής, ὡς ἥλιος, ἐφάνη τῷ κόσμῳ, τοὺς ἐσκοτισμένους, ποιῶν φωτὸς μετόχους.

Ἕτερος. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Ὢ μεγίστης σου χάριτος Πολυέλεε, ἁμαρτίας καθαίρεις τῶν ἐπταικότων σοι, Πνεῦμα δὲ παρέχεις τῷ λαῷ καὶ τὴν γλυκύτητα, τῆς ἀφέσεώς σου, Σιλουανὸς ὡς ἔφη.

Ἄλλη γνῶσις ὑπάρχει Θεοῦ ἐκ πίστεως, καὶ ἐκ πείρας ἑτέρα Αὐτῷ ἐγγίζουσα, ἥνπερ ἔσχον ἄνθρωποι θνητοί, Πνεύματος Χάριτι, αὕτη τῶν τελείων, πέλει καὶ κλῆρος μόνον.

Θρῆνον ᾄδει καρδία Ἀδὰμ Προπάτορος, ἐννοοῦσα Κυρίου μεγαλειότητα, καὶ ἁμαρτιῶν μνημονεύουσα πάντοτε, τῆς Ἐδὲμ ποθοῦσα, τὴν αἰωνίαν Χάριν.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ὦ Παρθένε τοῦ κόσμου παντὸς μεσίτρια, ἀναμάρτητον τήρει με ἱκεσίαις σου, ὕψος γὰρ τῆς σῆς, ἀγαπήσεως οἴδαμεν, καὶ τῆς παρρησίας, πρὸς τὸν γλυκὺν Υἱόν σου.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἴθι πρὸς λαόν, Θεοῦ Ὁσιώτατε, Σιλουανὲ καὶ κλαυθμόν, τοῦ Ἀδὰμ ἐπάκουσον, καὶ ἆρον χεῖρας καὶ κλῖνον γόνυ σου, καὶ Πνεῦμα τὸ Πανάγιον, εὐχαῖς σου βράβευε, τοῖς ποθοῦσι, τοῦτο καὶ μεσίτην σε, πρὸς Υἱὸν καὶ Πατέρα προβάλλουσι.

Ὅπου οἱ χοροί, Ἀγγέλων νῦν ἵστασαι, καὶ θεωρεῖς τηλαυγῶς, τοῦ Θεοῦ μυστήρια, ἅπερ ἐν κόσμῳ ἐσόπτρῳ ἔβλεπες, καὶ συνενοῖς τὴν δέησιν τῇ πανενότητι, τῶν Ἁγίων, Πάντων γλυκυπόθητε, τῇ ἀγάπῃ ἐνθέως τηκόμενος.

Νέος παλαιούς, Πατέρας ἐπέφθασας προφητικώτατε, καὶ τῇ πολιτείᾳ σου, καταφαιδρύνεις, κόσμου τὰ πέρατα, ταῖς διδαχαῖς τῶν λόγων σου, ἀναβιβάζεις δέ, τὰς καρδίας, πρὸς τὰ ὑπερκόσμια, ὅθεν πάντες τιμῶμεν τὴν μνήμην σου.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἄκουσόν μου δή, τοῦ Ὄρους Βασίλισσα, καὶ μὴ ἀπώσῃ με, βδέλυγμα γὰρ πέφυκα, τῆς ἐρημώσεως ὁ ταλαίπωρος, ἀλλὰ θαρρῶν προσέρχομαι καὶ ἐκβοῶ σοι θερμῶς, ὡς παρέσχες, τῷ Σιλουανῷ ποτέ, δὸς κἀμοὶ σὴν ἀντίληψιν Δέσποινα.

Ἕτερος. Θεὸν ἀνθρώποις.

Νοεῖν τὴν δόξαν Θεοῦ ἀδύνατον, καὶ τῶν Αὐτοῦ, Ἁγίων παρομοίως τοὺς ἔχοντας, σαρκικοὺς ὀφθαλμοὺς καὶ διάνοιαν, πάθεσι σκοτουμένην, πάντῃ ἀμέθεκτος, ἡ τῶν χαρισμάτων δωρεά, ἄνευ καθάρσεως.

Ἰσχὺν τῆς χάριτος δὸς τοῖς δούλοις σου, ὦ Ἰησοῦ, πρεσβείαις Οὗ αὐτῆς κατηξίωσας, καὶ μεγάλου μεσίτου ὑπάρχοντος, ἔμπροσθεν τοῦ σοῦ θρόνου, κόσμῳ δὲ δείξαντος, ὅτι σὺ ὑπάρχεις ὁ ἀεί, Θεὸς φιλάνθρωπος.

Τί εἴπω Πάτερ ὁ ἀναιδέστατος; σοῦ καθορῶν, τοῦ βίου τὸ πανάπαν συμπέρασμα, δι᾽ οὗ εἴληφας τῆς Χάριτος πλήρωμα, τὴν ταπεινοφροσύνην! ὅμοιος γέγονας, τῷ ταπεινωθέντι Ἰησοῦ, Οὗ ἠλλοτρίωμαι.

www.tezaurliturgic.ro


Ἁγίων σώματα ἐκπηγάζουσι, Χάριν Θεοῦ, τοῖς πίστει προσιοῦσιν ἑκάστοτε, τῆς τελείας ἀγάπης γὰρ ἔνδειξις, τοῦτο σαφῶς ὑπάρχει, ἧς περ μετέσχηκας, ὦ Σιλουανὲ ὡς καὶ ἡμεῖς, πείρᾳ ἐγνώκαμεν.

Θεοτοκίον.

Ἀκόρεστόν μου δίψαν ἀφάνισον, Κόρη Ἁγνή, ποθῶ γὰρ τὸν γλυκύτατον Κύριον, ἐν Αὐτῷ ἐφευρίσκω τὴν λύτρωσιν, τὴν ἐκ τῆς ἁμαρτίας, Πνεῦμα δὲ δίδοται, ὡς Σιλουανὸς πιστοποιεῖ, ὁ ἁγιώτατος.

᾿Εξαποστειλάρια.

Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.

Τῶν δωρεῶν τοῦ Πνεύματος, πλήρης γέγονας Πάτερ, Σιλουανὲ τρισόλβιε, ὅθεν πλήθη προσάγεις, τῷ φιλανθρώπῳ Κυρίῳ, τοῖς γλυκέσι σου λόγοις, οἷς πόθῳ καταφλέγονται, τῆς ἀγάπης καὶ Τοῦτον, διψητικῶς, ἐν Ἁγίῳ Πνεύματι ἐκζητοῦσι, διό σε μακαρίζομεν, φοιτηταί σου παντοῖοι.

Ἕτερον. Ἦχος γ′. Φῶς ἀναλλοίωτον.

Φωτὶ τοῦ πνεύματος ἔγνως, Σιλουανὲ τὸν Δεσπότην, καὶ τῷ φωτὶ τούτῳ μένων, ἥλιος ὤφθης φωτίζων, θείῳ φωτὶ διδαχῶν σου, φωτὸς Θεοῦ κληρονόμε.

Θεοτοκίον. Ὅμοιον.

Καρπὸν ἀρτίκοπτον δίδως, Παρθενομῆτορ Κυρία, τοῦ Περιβόλου σου κόσμῳ, Σιλουανὸν τὸν σὸν λάτρην, δόξαν μεγάλην τοῦ Ἄθω, καὶ οἰκουμένης εὐχέτην.

**Εἰς τοὺς Αἴνους.**

Ἱστῶμεν στίχους δ′ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος πλ. δ′. Ὢ! τοῦ παραδόξου θαύματος.

Πάτερ Πατέρων ἰσότιμε, Σιλουανὲ θαυμαστέ, οἰκουμένης διδάσκαλε, Ἀποστόλων μέτοχε, δωρεᾶς τῆς τοῦ Πνεύματος, τῶν δὲ Μαρτύρων πόθῳ ἰσότιμε τῆς Ἐκκλησίας, δόξα καὶ καύχημα, πρὸς τὸν Πατέρα σου, Πνεύματι ἱστάμενος, διηνεκῶς, μνήσθητι τιμώντων σου, μνήμην τὴν πάντιμον.

www.tezaurliturgic.ro

Ἐξωμοιώθης προτύπῳ σου, Σιλουανὲ θαυμαστέ, ἐπιγνοὺς τὸ φιλάνθρωπον, καὶ τὸ πολυέλεον, διὰ Πνεύματος Ὅσιε, διὸ ἀπαύστως, δεήσεις πρόσφερε, τὰ ἔθνη πάντα, τὴν γνῶσιν κτήσασθαι, Θεοῦ τοῦ πλάσαντος, Ὅνπερ Πάτερ εὕροιμεν ὑπερφυῶς, μόνιμον θησαύρισμα, καὶ τῶν ψυχῶν γλυκασμόν.

Πλήρωμα Νόμου καὶ Χάριτος, ἀγάπη ἔστι Θεοῦ, ἥν λαβὼν ἐν καρδίᾳ σου, Θεὸς θέσει γέγονας, καθ' ἑκάστην φλεγόμενος, θυσίαν φέρων, ὁλοκαυτώσεως, εὐχὰς ἀπείρους, δάκρυα ἄμετρα, ἅπερ ὁ Κύριος, μύρα προσδεξάμενος ὡς λογικά, στέφανόν σοι δέδωκε, τῆς ἁγιότητος.

Ἐπιστημῶν ἐπιστήμονα, τὴν ἐπιστήμην ὀρθῶς, ἐπιγνόντα γινώσκομεν, ἔνδυμα θεώσεως, τὴν ταπείνωσιν Ὅσιε, δι' ἧς Κυρίῳ ἡνώθης Πνεύματι, ἐν μέσῳ πλήθους βιῶν ὡς ἔρημον, ἄλλοι κατῴκησαν, ὅθεν σε δοξάζομεν Σιλουανέ, θήκην τῶν Λειψάνων σου, κατασπαζόμενοι.

Δόξα. Ἦχος πλ. α'.

Μέγα σου τὸ ἔλεος, τρισάγιε Κύριε! καὶ πῶς ἀξίως τὰς δυναστείας σου ἐκδιηγησώμεθα; ἀνέπλασας γὰρ ἡμᾶς τῷ Πνεύματί σου τῷ Ἁγίῳ, καὶ μακρυνθέντας ἀσώτως τῆς πατρικῆς ἑστίας,

www.tezaurliturgic.ro

πάλιν ἐπανεισήγαγες, ἐπενδύσας τῇ ἀλουργίδι τῶν χαρισμάτων. Ὅθεν νέον ἔχοντες μάρτυρα τῆς δωρεᾶς σου, Σιλουανὸν τὸν μεγαλοφωνότατον, ἐκπληττόμενοι ἱκετεύομέν σε, τὴν φωνὴν αὐτοῦ ὑποκλέπτοντες· δὸς τοῖς λαοῖς τὴν γνῶσιν σου τὴν σωτήριον, δὸς τοῖς λαοῖς τὴν ἀγάπην σου τὴν ὑπέρλογον, ἵνα γνόντες συμφώνως δοξάζωμεν ἅπαντες σὲ τὸν Ποιητὴν ἡμῶν εἰς τοὺς αἰῶνας Φιλάνθρωπε, τὸν καταξιώσαντα γενέσθαι συμμόρφους τῆς εἰκόνος σου.

Καὶ νῦν. Μακαρίζομέν σε.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΗΝ Θ. ΛΕΙΤΟΥΡΓΙΑΝ

Τυπικά. Μακαρισμοί. Ἡ γ΄ ᾠδὴ ἐκ τοῦ α΄ Κανόνος καὶ ἡ στ΄ ἐκ τοῦ β΄. Ἀποστολοευαγγέλιον, τὰ ὁσιακὰ (βλέπε τῇ ε΄ Δεκεμβρίου). Κοινωνικόν. Εἰς μνημόσυνον.

## Μεγαλυνάρια.

Τῆς Ρωσσίας βλάστημα θαυμαστόν, καὶ τοῦ Ὄρους Ἄθω, καλλιέρημα λογικόν, Πνεύματος Ἁγίου, τὸ θεοφόρον στόμα, Σιλουανὸν τὸν μέγαν, ὕμνοις τιμήσωμεν.

Τοῦ Μεγαλομάρτυρος ἡ Μονή, χόρευε σκιρτῶσα, ἐκ τῶν σπλάγχνων σου θαυμαστόν, Ἐκκλησίᾳ δοῦσα, διδάσκαλον καὶ μύστην, Σιλουανὸν τὸν θεῖον, Χάριτος κήρυκα.

Χάριν τὴν τοῦ Πνεύματος δαψιλῶς, Πάτερ μοι χορήγει, τῷ αὐθάδει σου ὑμνητῇ, πόθος γὰρ δυνάμεις, συχνάκις ὑπερβαίνει, διὸ συγχώρησόν μοι, τῷ ὑποχρέῳ σου.

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΣΙΛΟΥΑΝΟΝ

## ΤΟΝ

## ΑΘΩΝΙΤΗΝ

«Χαροποίησον, Κύριε, διὰ τῆς ἐλεύσεως τοῦ Πνεύματός Σου τοῦ Ἁγίου πᾶσαν ψυχὴν θλιβομένην».

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, τὸ Κύριε εἰσάκουσον, Θεὸς Κύριος καὶ τὸ Τροπάριον.

Ἦχος δʹ. Ὁ ὑψωθείς.

Ὁ νοῦν κρατήσας εἰς κατώτατα Ἅδου, καὶ ἀνελθὼν τῇ ταπεινώσει εἰς ὕψος, θεωριῶν τῇ Χάριτι σεπτὲ Σιλουανέ, δέχου τοὺς προστρέχοντας, πατρικαῖς σου πρεσβείαις, δίδου πεῖραν Πνεύματος, λογισμὸν μετανοίας, ὅπως τῇ γνώσει Πάτερ τοῦ Θεοῦ, ἀξιωθῶμεν, τῆς ἄνω συστάσεως.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον,
Οὐ σιωπήσομεν...

Ὁ Νʹ ψαλμὸς καὶ εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς· «Διψητικῶς ἀξίωσον, ζητεῖν Θεόν, ὦ Πάτερ. Ἀ(θανάσιος)».

www.tezaurliturgic.ro

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Διψῶντες τὴν Χάριν τοῦ Ἰησοῦ, προστρέχομεν πίστει, σοὶ ὦ πάτερ Σιλουανέ, πρεσβείαις ἁγίαις οὖν χορήγει, τὰς δωρεὰς καὶ ἡμῖν θείου Πνεύματος.

Ἱλέωσαι Πάτερ τὸν ἀγαθόν, Δεσπότην καὶ δίδου, τῆς εἰρήνης ἐγκαινισμόν, καρδίαις ζητούσαις τὴν γαλήνην, ἥν περ παρέχει τὸ Πνεῦμα τὸ Ἅγιον.

Ψυχὰς ἀποκάθαρον τῶν παθῶν, τρισόλβιε Πάτερ, καὶ οἰκίας φωτολαμπεῖς, ἀνάδειξον ταύτας Παρακλήτου, ὡς τὴν ψυχήν σου τελείως ἐκάθηρας.

Θεοτοκίον.

Ἣν ἔσχες ταπείνωσιν ἀληθῆ, Παρθένε παράσχου, σοῖς οἰκέταις ἐγκατοικεῖν, γενέσθαι δὲ πάντας κατὰ χάριν, τοῦ γλυκυτάτου Υἱοῦ σου σκηνώματα.

'Ωδὴ γ'. Οὐρανίας ἁψῖδος.

Τὴν σφοδράν σου ἀγάπην, πρὸς τὸν Θεὸν ἔδειξας, διὰ μετανοίας ἀρίστης, μακαριώτατε,

www.tezaurulortodox.ro


ὅρον σου θέμενος, μὴ προσβαλεῖν Τούτῳ ἔτι, ἑκουσίῳ πταίσματι ἢ παραπτώματι.

Ἰησοῦ ἐπικλήσει, τῇ ζωηρᾷ σέσωσαι, ὅτε ὁ λυττώτων σοι κύων, Πάτερ προσήγγισε, διό με λύτρωσαι, ἐκ τοῦ κυνὸς διαβόλου, προσευχὴν διδάσκων μοι τὴν ἀδιάλειπτον.

Κεκμηκότα με Πάτερ, ἐκ πονηρῶν πράξεων, ἀνάστησον καὶ ἀνόρθωσον πάλιν τῇ μεσιτείᾳ σου, σὺ γὰρ φιλάνθρωπα, ἐκ δωρεᾶς ἔχεις σπλάγχνα, ἅπερ μοι ἐπίδειξαι, ἵνα δοξάζω σε.

Θεοτοκίον.

Ὡς τὸν ὄφιν Παρθένε, τὸν πονηρὸν ἤλασας, ἀπὸ Συμεὼν ἐνυπνίῳ, πάντοτε δίωκε, ἀπὸ καρδίας μου, τὰς ἀκαθάρτους ἐννοίας, σκεῦος καθαρώτατον, ἀποδεικνῦσα με.

Διάσωσον, Σιλουανὲ σαῖς πρεσβείαις τοὺς σοὺς ἱκέτας, ἀπὸ παντοίων ἐπηρειῶν πονηρῶν, καὶ φύλαττε αὐτούς, ἐν τῇ Χάριτι τοῦ Κυρίου.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

www.tezaurliturgic.ro

Αἴτησις ὑπὸ τοῦ Ἱερέως καὶ τὸ κάθισμα.

Ἦχος β'. Πρεσβεία θερμή.

Πρεσβείας τὰς σάς, πλουτοῦντες Παμμακάριστε, κινδύνων ἀεί, λυτρούμεθα οἱ δοῦλοι σου, καὶ Θεὸν γνωρίζοντες, διὰ Χάριτος Ὁσιώτατε, Σιλουανὲ ἐκ ψυχῆς, τὸν ὕμνον σοι ἀναπέμπομεν.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Σταθερὰν ὡς ἐπέδειξας, ἔφεσίν σου Πάτερ ἀφιερώσεως, οὕτω πάντοτε τὸν δοῦλόν σου, πολιτεύεσθαι Θεῷ ἀξίωσον.

Ἀεὶ δου Πάτερ ἐκύκλωσαν, φλόγες τὴν καρδίαν μετανοοῦσάν σου, ὧν με λύτρωσαι τὸν τάλανα, δροσισμὸν παρέχων θείας Χάριτος.

Ξένος γέγονας Ὅσιε, τὸν σταυρὸν ἀράμενος θείου Σχήματος, τὸν Χριστὸν οἰκεῖον ἔχων σοι, Ὧ με παρρησίᾳ σου οἰκείωσον.

Θεοτοκίον.

Ἱερὸν ὡς ἀνάθημα, δέδεξαι Παρθένε ἐν θείῳ Ἄθωνι, τὸν σὸν δοῦλον κατασκέπουσα, μητρικῇ σου σκέπῃ, ᾗ με σκέπασον.

www.tezaurliturgic.ro


'Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Ὤφθη σοι Χριστός, τῷ πολέμῳ ἀτονήσαντι, καὶ ψυχῆς ἠλλοίωσε ἰσχύν, Ὃν ἀτονοῦντι, ἀντιλήπτορα παράσχου μοι.

Σῶμα καὶ ψυχή, εἰληφότα θείαν ὅρασιν, ἀνενεώθησάν σου Πάτερ εὐθύς, κἀμοῦ κραυγάζω, ἀνανεούσθω ἔσω ἄνθρωπος.

Ὄμμα νοερόν, ὥσπερ ἄγγελος ἐτήρησας, ἐν ἀγρυπνίαις ἐκτηκόμενος, καὶ νήψει Πάτερ, διό με νήφειν καταξίωσον.

Θεοτοκίον.

Νέωσον τὸν νοῦν, καὶ καρδίαν μου Θεόνυμφε, ἐγκατασπείρουσα τὸ σπέρμα εὐχῆς, ὡς εὐχομένῳ, τῷ Ὁσίῳ ξένως ἔσπειρας.

'Ὠδὴ στ'. Τὴν δέησιν ἐκχεῶ.

Ζωήν σου, τοὺς ἀδελφοὺς οἰόμενος, δι' ὧν εὕρισκες Θεὸν τὸν Πατέρα, Σιλουανέ, διηκόνεις προθύμως, αὐτοῖς τὴν Χάριν λαμβάνων τοῦ Πνεύματος, διὸ κἀμὲ παρακαλῶ, βλέπειν πάντας ὡς σὺ καταξίωσον.

www.tezaurliturgic.ro

Ἠλόγησας, τῆς φθαρτῆς σου φύσεως, καὶ ἀγῶνας ὑπὲρ μέτρον ἐτέλεις, φόβον ἐν νῷ, ἔχων μήπως ἐκπέσῃς, τῆς Ἰησοῦ ἀγαπήσεως Ὅσιε, ἧς πάντοτε ἐμὴν ψυχήν, ἐξαρτᾶσθαι εὐχαῖς σου μοι δώρησαι.

Τηρήσας σου, εἰς τοῦ ᾅδου πέταυρα, λογισμὸν μακαριώτατε Πάτερ, τῆς ἀγαθῆς, τοῦ Σωτῆρος ἐλπίδος, μὴ μακρυνθῆναι ἠξίωσαι Ὅσιε, διὸ βοῶ σοι ἐκ ψυχῆς, ἐργασίαν τοιαύτην ἐργάζοιμι.

Θεοτοκίον.

Ἐλέους σου, μητρικοῦ ἀπήλαυσεν, ὁ θεράπων σου Παρθένε Κυρία, καὶ γὰρ οὐδείς, μετὰ πόθου προσπίπτων, οὐκ ἂν κενὸς πορευθείη τῆς χάριτος, ἧς δέομαι ὁ ἀμελής, ἀπολαῦσαι ἐν βίῳ μου ἅπαντι.

Διάσωσον, Σιλουανὲ σαῖς πρεσβείαις τοὺς σοὺς ἱκέτας, ἀπὸ παντοίων ἐπηρειῶν πονηρῶν, καὶ φύλαττε αὐτούς, ἐν τῇ Χάριτι τοῦ Κυρίου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

www.tezaurul.ro

Ἡ αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.

Διὰ πείρας μαθὼν τὰ θεῖα μυστήρια, τὴν ἀγάπην καλῶς πρὸς πάντας ἐναπέδειξας, ἣν καὶ νῦν Σιλουανέ, τοῖς χρήζουσι πιστοῖς, καὶ προστρέχουσι τῇ σῇ, μεσιτείᾳ ἐπίδειξαι, πάθη ψυχῶν σωμάτων, πόρρω ἀποδιώκων, καὶ τὴν τοῦ Πνεύματος χαράν, παρέχων τὴν ἄμισθον.

Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου
ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον
καὶ προσέσχε μοι.

Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ματθαῖον
(ια΄, 27-30)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν

www.tezaurliturgic.ro

βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα τὸ Προσόμοιον.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός,
κατὰ τὸ μέγα ἔλεός σου...

Ὅλην σου τὴν ἔφεσιν, πρὸς τὸν Θεὸν ἀνατείνας, δρόμον τῆς ἀσκήσεως, Πάτερ Ὁσιώτατε διεπέρασας, καὶ δραγμοὺς Χάριτος, ἀποδρέψας πόθῳ, νῦν πλουτεῖς παναληθέστατα, τὴν ἑκατόμμοιραν, τοῦ Εὐαγγελίου ὡς εἴρηται, διὸ καὶ τοῖς προστρέχουσι, ῥείθροις τῶν ῥημάτων σου πάρεχε, δροσισμὸν καρδίας, καὶ τρόπους μετανοίας ἀψευδοῦς, Σιλουανὲ θείου Πνεύματος, κτῆτορ καὶ διδάσκαλε.

www.tezaurliturgic.ro

'Ωδὴ ζ΄. Οἱ ἐκ τῆς 'Ιουδαίας.

Ἱερὰν πολιτείαν τῶν μοναστῶν ἤνυσας, Πάτερ ἐν πολλῇ κατανύξει, καὶ ἔχων πάντοτε, πρὸ τῶν ὀμμάτων σου, τὴν Παρουσίαν Κυρίου, Ὃν κἀμὲ ἐνώπιον, βλέπειν ἀξίωσον.

Νοῦν τετήρηκας ξένον, τῶν κοσμικῶν πράξεων, καὶ θεωριῶν θεοφόρε, διὰ τοῦ Πνεύματος, συγκατερχόμενος, ταλαιπωρίαις τοῦ κόσμου, καὶ εὐχὰς ποιούμενος, ἃς καὶ νῦν ποίησον.

Θρηνωδίας παρῆλθε, τῆς τοῦ 'Αδὰμ Ὅσιε, χρόνος ὅτι νῦν ἀπολαύεις, Οὗπερ ἐπόθησας, διὸ ὡς μείζονα, τὴν παρρησίαν νῦν ἔχων, τοῦ λαοῦ σου μνήσθητι, φιλοψυχότατε.

Θεοτοκίον.

Ἐν Σταυρῷ ἱσταμένη, ὠκεανὸν θλίψεως, Ἄχραντε ἐξέπιες ὅμως, χαρᾶς πεπλήρωσαι, ὅτε ἑώρακας, τὸν σὸν Υἱὸν ἀναστάντα, ἧς χαρᾶς ἀξίωσον, λαὸν ὑμνοῦντά σε.

'Ωδὴ η΄. Τὸν Βασιλέα.

Οὐρανωθέντες, χορὸς Ἁπάντων Ἁγίων, ὑπὲρ κόσμου πρεσβεύετε ἀπαύστως, ἅμα συνευχέτῃ, Σιλουανῷ τῷ θείῳ.

www.tezaurliturgic.ro

Νίκην εὑρίσκει, ὁ ταπεινῶν ἕως τέλους, τὴν ὑψαύχενον διάθεσιν καρδίας, ἣν εὐχαῖς σου Πάτερ, εὕροιμεν ὑμνηταί σου.

Ὢ! τῆς ἀφράστου, φιλανθρωπίας Δεσπότου, τοῦ παρέχοντος παράκλησιν τοῖς δούλοις, Χάριν Παρακλήτου, πρεσβείαις τῶν Ἁγίων.

Θεοτοκίον.

Πάλιν Παρθένε, προσπίπτοντά με προσδέχου, ἐξαιτούμενον σὴν ἄμαχον πρεσβείαν, δι' ἧς εὐελπίζω, τυχεῖν τῆς σωτηρίας.

'Ωδὴ θ'. Κυρίως Θεοτόκον.

Ἀγάπης τὸ ταμεῖον, σὲ καθικετεύω, Σιλουανὲ παμμακάριστε Ὅσιε, διπλῆν μοι ταύτην παράσχου, ταῖς μεσιτείαις σου.

Τὴν φύσιν ὑπερῆρας, Πνεύματι Ἁγίῳ, καὶ ὑπὲρ φύσιν ὡς ἄγγελος ἔζησας, οὕτω βιοῦν ὑμνητάς σου, Πάτερ ἱκέτευε.

Εὐφραίνομαι τρισμάκαρ, βίον μελετῶν σου, καὶ τοῦ Κυρίου ὁρῶν μέγα ἔλεος, Σιλουανὲ ᾧ σωθῆναι, κἀμὲ ἀξίωσον.

www.tezaurliturgic.ro

Ρημάτων ἀπορήσας, μίαν ἀνακράζω, φωνὴν ἱκέτιδα Πάτερ μακάριε, τὸν κόσμον ἅπαντα γνῶναι, Πνεύματι Κύριον.

Θεοτοκίον.

Αἰτοῦντί μοι τὸ φῶς Σου, τῷ ἐσκοτισμένῳ, Φωτοχυῆτορ ἀκτῖνα κατάπεμψον, καὶ Βασιλείας φωτός με, μέτοχον ποίησον.

Εἶτα τὸ Ἄξιόν ἐστι καὶ τὰ Μεγαλυνάρια.

Τὸν τῆς μετανοίας καθηγητήν, καὶ φωτὸς ἀκτίστου, ἀπλανέστατον μυητήν, Πνεύματος Ἁγίου, διδάσκαλον καὶ οἶκον, Σιλουανὸν ἐν ὕμνοις, ἀνευφημήσωμεν.

Ἔσπειρας ἐν δάκρυσι δαψιλῶς, Πάτερ θεοφόρε, ὅθεν δράγματα νῦν κρατῶν, ἀρετῶν τῶν θείων, χορήγει τοῖς αἰτοῦσι, Σιλουανὲ θεόφρον, καρποὺς τῆς Χάριτος.

Πνεῦμα τὸ Πανάγιον σαῖς εὐχαῖς, ἐγκαίνισον Πάτερ, τοῖς τιμῶσι σε εὐλαβῶς, καὶ τὸν κόσμον πάντα, ἀξίωσον πλησθῆναι, τῆς γνώσεως Κυρίου, μακαριώτατε.

www.lozaurlitugic.ro

Πίστει προσκυνοῦντας Σιλουανέ, Λειψάνων σου θήκην, χαρισμάτων ζωοποιῶν, πλήρωσον καὶ ζέσιν, ὑπάναφον ἀγάπης, ἵνα σε εὐγνωμόνως, πάντες δοξάζωμεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί...

Τὸ Τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν τὰ ἑξῆς·

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.

Δός μοι, τὴν τοῦ Πνεύματος χαράν, δός μοι τῆς ἀγάπης ὦ Πάτερ, τὴν τελειότητα, δὸς τὴν ἐπιπόθησιν, τοῦ γλυκυτάτου Χριστοῦ, ἀρετῶν τὴν πληρότητα, ταπείνωσιν θείαν, ἵνα πνευματέμφορος, ὅλως δοξάζω σε, Ὄρους τοῦ Ἁγίου ἡ δόξα, καὶ τῆς Ἐκκλησίας τὸ στόμα, ὦ Σιλουανὲ θεομακάριστε.

Δέσποινα πρόσδεξαι...

Τὴν πᾶσαν ἐλπίδα μου...

Ἐκ παντοίων κινδύνων...

Τῇ πρεσβείᾳ Κύριε...

www.tezaurliturgic.ro

Καὶ τέλος τό Δι' εὐχῶν.

Στίχοι ἱκετικοί.

Πλήρωσον ὁδοὺς τοῦ ἀθλίου μου βίου,
ὦ Σιλουανέ, Πνεύματος Παναγίου.

www.tezaurliturgic.ro

# ΜΟΥΣΙΚΟΝ ΠΑΡΑΡΤΗΜΑ

«Ἠγάπα πολὺ ὁ Γέρων τὰς μακρὰς ἱερὰς ἀκολουθίας ἐν τῷ ναῷ, ἀπεράντως πλουσίας εἰς πνευματικὸν περιεχόμενον, καὶ ἐτίμα τὸ ἔργον τῶν ψαλτῶν καὶ τῶν ἀναγνωστῶν, καὶ πολὺ προσηύχετο δι' αὐτούς, παρακαλῶν τὸν Θεὸν ἵνα βοηθῇ αὐτούς, ἰδιαιτέρως κατὰ τὸν καιρὸν τῶν ὁλονυκτίων ἀγρυπνιῶν».

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# Δοξαστικα τȣ Οσιου Σιλουανου

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

## ΔΟΞΑ ΗΧΟΣ Β'



www.tezaurliturgic.ro

μιν Σι λου α α νε ε τοι οις τι ι μω ω ω σι ι ι ι σε

## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

## ΔΟΞΑ ΗΧΟΣ πλ πα

Ο φι λαν θρω πο τα α το ο ος Θε ε ος Χρι

στος ο ο ο Κυ υ ρι ι ι ος νε αν πα

ρα κλη η σι ι ιν η η μιν επ ε σχα των και Ευ αγ

γε ε λι ι ι ο ο ον ε ε εμ πνουν ει κο να τε Αυ του

ου ου ου α α κη λι ι δω ω ω τον Σι λου α

νο ον τον πα αμ μα κα α α ρι ι ι ι στον ε χα

ρι ι ι σα α το ο προς ον ως πα α τρι α

τε νι ι ι ι ζο ο ο ον τες χαρ μο νη η ης πλη ρου

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΔΟΞΑ ΤΗΣ ΛΙΤΗΣ

## ΗΧΟΣ πλ. α' πα



www.tezaurliturgic.ro



## ΔΟΞΑ ΤΩΝ ΑΠΟΣΤΙΧΩΝ

ΗΧΟΣ πλ. Δι ΝΗ



www.tezaurliturgic.ro



www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΔΟΞΑ ΤΩΝ ΑΙΝΩΝ

## ΗΧΟΣ πλ. α' Πα



www.tezaurliturgic.ro



www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# Περιεχόμενα

Πρόλογος ........................................ 7
Πρᾶξις Πατριαρχικὴ καὶ Συνοδικὴ τοῦ Οἰκουμενικοῦ Πατριαρχείου ........................................ 9
Ἔγχρισις Ἱερᾶς Κοινότητος Ἁγίου Ὄρους ........ 11
Μικρὸς Ἑσπερινὸς ........................ 15
Μέγας Ἑσπερινὸς ........................ 19
Λιτὴ ........................................ 24
Ὄρθρος ........................................ 29
Θ. Λειτουργία ........................ 56
Παρακλητικὸς Κανὼν ........................ 59
Μουσικὸν Παράρτημα ........................ 75

www.tezaurliturgic.ro

Α′ ἔκδοσις 1991
Β′ ἔκδοσις 1995

© Ἱερὰ Μονὴ Σίμωνος Πέτρας, 630 87 Δάφνη - Ἅγιον Ὄρος.

Ἐκτύπωσις: Γραφικαὶ Τέχναι Γεωργίου Δεδούση, Ἀνδρέου Γεωργίου 28, Θεσσαλονίκη.

Σχέδια - ἐπίτιτλα - φωτογραφία: ἐκ τοῦ ἀρχείου τῆς Ἱερᾶς Μονῆς.

Τονισμός, καλλιγράφησις μουσικῶν κειμένων - Γενικὴ ἐπιμέλεια ἐκδόσεως ὑπὸ ἀδελφῶν τῆς Ἱ. Μονῆς.